2 νοσήμασι κεφαλῆς θερμοῖς καὶ ϖνευματώδεσι κάμνουσιν. Ἤδη δὲ καὶ διὰ ἄλλα ϖάθη ϖερὶ κεφαλὴν συνιστάμενα χρόνια κέχρηνταί τινες ἀρτηριοτομίαις τῶν ὤτων ὄπισθεν· ἄλλας δὲ διαιρεῖν ἀρτηρίας ὀκνοῦσι διὰ τὸ δυσεπίσχετον τῆς αἱμοῤῥαγίας, καὶ ὅτι τῆς διαιρέσεως εἰς οὐλὴν ἰούσης ἀνεύρυσμα γίνεται.

2 vient de se livrer à quelques-unes des occupations habituelles. Pour réitérer la saignée, le temps opportun est le jour même [où l'on a fait la première], si l'on veut simplement opérer une déplétion; s'il s'agit d'une révulsion, il vaut mieux pratiquer la seconde saignée l'un des deux jours suivants.

12. DE LA SAIGNÉE ARTÉRIELLE.

1 Les médecins incisent aussi les artères, soit celles des tempes dans les fluxions chaudes des yeux compliquées de pneumatose, soit celles qui sont situées derrière les oreilles, pour les vertiges, et surtout pour les maladies chroniques de la tête, chaudes et compliquées de pneumatose.
2 Quelques-uns incisent aussi les artères derrière les oreilles pour d'autres maladies chroniques qui se forment à la tête, mais ils éprouvent de la répugnance à diviser d'autres artères, à cause de la difficulté d'arrêter l'écoulement de sang, et aussi parce qu'un anévrisme peut se former pendant le travail de la cicatrisation.

2-3. τὴν ἡμέραν Codd. Cf. t. II, p. 37. — Ch. 12, l. 11. τῆς ἐξ ἀρτηριοτομίας αἱμοῤῥ. A. — 12. ἰούσης] ἴσως ἐρχομένης A.

ιγʹ. Περὶ σικυάσεως.

Οὔτε ἐν ἀρχῇ τῶν παθῶν, οὔτε πληθωρικῶν ὄντων, σικύαις 1 χρησόμεθα, ἀλλὰ ὅταν προκενωθῇ πᾶν τὸ σῶμα, καὶ μηκέτι ἐπιῤῥέῃ μηδὲν τῷ μορίῳ, χρεία τε γένηται κινῆσαί τι καὶ μοχλεῦσαι καὶ πρὸς τὸ ἐκτὸς ἑλκύσαι. Φυλάττεσθαι δὲ δεῖ σικύαν προσάγειν πλη- 2 σίον μαστῶν· ἐμπίπτοντες γὰρ εἰς αὐτὰς ἐνίοτε καὶ ἐνοιδοῦντες σφόδρα δυσχερῆ τὴν ἄρσιν ποιοῦνται, καὶ τότε χρὴ σπόγγοις ἐκ θερμοῦ περιλαμβάνειν τὰς σικύας· ἀνίενται γάρ· εἰ δὲ μηδὲ οὕτως ἀνεθεῖεν, τρυπᾷν αὐτὰς δεῖ.

ιδʹ. Περὶ ἐγχαράξεως. Ἐκ τῶν Ἀπολλωνίου.

Τὸ φλέβα διελεῖν πολλάκις τοῦ ἔτους οὐκ ἐπιτήδειον εἶναι νο- 1 μίσας, ὅτι ἅμα τῷ αἵματι πολὺ συνεκκρίνεται τὸ ζωτικὸν πνεῦμα, τούτου δὲ ἀναλισκομένου πυκνότερον ὅ τε ὅλος ὄγκος καταψύχεται,

13. DE L'APPLICATION DES VENTOUSES.

N'appliquons les ventouses, ni au commencement des maladies, ni 1 quand les malades sont pléthoriques, mais quand on a déjà fait une déplétion générale, qu'il n'y a plus aucun afflux vers la partie, et qu'il est nécessaire de mettre en mouvement et de soulever quelque matière [dans la partie enflammée] et de l'attirer vers l'extérieur. On évitera 2 l'emploi de ce moyen au voisinage des seins; car ces organes, en tombant quelquefois dans les ventouses, rendent fort difficile, par leur gonflement, l'enlèvement de ces instruments; dans ce cas, on les entourera d'éponges trempées dans de l'eau chaude; cela produit le relâchement; si l'on ne réussit pas, il faut percer les ventouses.

14. DE LA SCARIFICATION. — TIRÉ D'APOLLONIUS.

Comme il ne me semblait pas convenable d'inciser la veine plusieurs 1 fois par an (car, en même temps que le sang, s'échappe une grande quantité d'air vital, dont l'épuisement répété refroidit tout le corps et

Ch. 13; l. 1. ἀρχαῖς BFF^aMPV. — 2. ὅτε F^aMV; ὅπερ BFP. — 3. γενήσεται AF. — Ib. τι] τε F; om. BF^a MPV.

καὶ πάντα τὰ φυσικὰ ἔργα χείρω γίνεται, ἐδοκίμασα οὖν ἀπὸ τῶν
2 ἀκυροτέρων, οἷον τῶν σκελῶν, τὴν ἀφαίρεσιν ποιεῖσθαι. Ἄριστον
δὲ τὸ βοήθημα εἴς τε τήρησιν ὑγείας καὶ εἰς ἀνάκτησιν, ὁπότε παρα-
τραπείη· ὠφελεῖ δὲ ἡ ἐγχάραξις καὶ ὀφθαλμοὺς χρονίως ῥευματι-
ζομένους, καὶ τὰς ἄλλας περὶ κεφαλὴν διαθέσεις, καὶ τὰς περὶ θώ-
ρακα, καὶ συνάγχας· τὰς δὲ σφηνώσεις τὰς ἐπί τινι μορίῳ γινομένας
λύειν χρὴ διὰ τοπικῆς ἐγχαράξεως.

ιε'. Περὶ βδελλῶν. Ἐκ τῶν Ἀντύλλου.

1 Τὰς δὲ βδέλλας χρὴ λαβόντας φυλάττειν ἡμέραν μίαν αἷμα ὀλί-
2 γον εἰς διατροφὴν ἐμβάλλοντας. Ἐπὶ δὲ τῆς χρείας τὸ βδελλιζόμε-
νον μέρος προεκνιτρούσθω καὶ καταχριέσθω αἵματι, ἢ πυριάσθω·
τὰς δὲ βδέλλας ἐμβλητέον εἰς ὕδωρ χλιαρὸν καθαρὸν, εἶτα λαβόν-
τας αὐτὰς καὶ σπόγγῳ περιλαβόντας τὸ γλοιῶδες ἀποκαθαίρειν καὶ
3 οὕτω προσάγειν. Ἐμφῦσαι δὲ οὐ παύονται ἕλκουσαι μέχρις

allanguit toutes les fonctions naturelles), j'ai imaginé d'opérer [à l'aide
de scarifications] la déplétion sur des parties moins importantes, par
2 exemple sur les jambes. C'est un excellent remède pour conserver la
santé et pour la rétablir, chaque fois qu'elle a été dérangée; la scarifi-
cation est bonne aussi contre les fluxions chroniques des yeux, contre
les maladies de la tête et de la poitrine, enfin contre les angines; mais
les obstructions qui tiennent à l'affection d'un organe spécial doivent
être dissoutes à l'aide des scarifications locales.

15. DES SANGSUES. — TIRÉ D'ANTYLLUS.

1 Après avoir pêché les sangsues, on les conserve pendant un jour, en
2 leur jetant un peu de sang pour se nourrir. Quand on veut s'en servir,
on frotte préalablement la partie sur laquelle on doit les appliquer avec
de la soude brute, et on l'enduit de sang, ou bien on y pratiquera des
fomentations; on jette les sangsues dans de l'eau pure et tiède; ensuite
on les saisit, on enlève avec une éponge, promenée sur leur corps, ce
3 qu'elles ont de visqueux, puis on les applique. Une fois qu'elles ont

2. ἀκυροτάτων BFF'MPV. — 3. τό om. F. — 4. δὲ καὶ ἡ ἐγχ. ὀφθ. F. — 6. τησι (sic) μορίοις F. — 7. χαράξεως AFP.

ϖροσπάσωμεν ἅλας τοῖς στόμασιν αὐτῶν, ἢ σποδόν. Μετὰ δὲ τὸ 4
ϖεσεῖν ϖυριατέον σπόγγοις τὸ μόριον, καὶ εἰ αἱμοῤῥαγοίη, κηκῖδα
κεκαυμένην, ἢ σπόγγον καινὸν, ἀποβάψαντα εἰς ϖίσσαν ὑγρὰν καὶ
καύσαντα ἐπιτιθέναι, [ἔπειτα] χάρτην ὄξει βεβρεγμένον.

ιϛʹ. Περὶ καθάρσεως. Ἐκ τῶν Γαληνοῦ.

Τοὺς δὲ ὑγιεινὰ τὰ σώματα ἔχοντας ἐργῶδες καθαίρειν· καὶ γὰρ 1
ἰλιγγιῶσι καὶ στροφοῦνται, καὶ δυσχερῶς αὐτοῖς ἡ κάθαρσις ϖρο-
χωρεῖ, καὶ ϖρὸς τούτοις ἔτι ταχέως ἐκλύονται. Τοὺς δὲ ὑγιαίνον- 2
τας, νοσήσοντας δὲ ἂν εἰ μὴ κενωθεῖεν, φθάνειν χρὴ κενοῦν εἰσβάλ-
λοντος τοῦ ἦρος, τὰ δὲ ἐπιληπτικὰ καὶ ἀσθματικὰ καὶ ἀποπληκτικὰ
τῶν φλεγματώδων, ἀρθριτικὰ δὲ, τὰ μὲν ἅμα θερμασίᾳ ϖολλῇ τῶν

pris, elles ne cessent de tirer, jusqu'à ce qu'on saupoudre le suçoir avec
du sel ou de la cendre. Quand les sangsues sont tombées, on fomente 4
la partie avec des éponges, et, s'il y a une hémorragie, on applique la
noix de galle torréfiée, ou une éponge neuve imbibée de goudron et
brûlée ensuite; après cela, on y met du papier de papyrus trempé dans
du vinaigre.

16. DE LA PURGATION. — TIRÉ DE GALIEN.

C'est une chose fâcheuse que de purger les gens qui ont le corps sain, 1
car ils sont pris de vertige et de coliques, et la purgation marche diffici-
lement; ils sont, en outre, sujets à s'affaiblir rapidement. Quant aux 2
gens qui sont bien portants, mais qui tomberaient malades si l'on n'o-
pérait chez eux une déplétion, on se hâtera d'en pratiquer une au com-
mencement du printemps; pour les accidents épileptiques, asthmatiques
ou apoplectiques, cette déplétion portera sur les humeurs pituiteuses,
tandis que, pour la goutte, on agira sur les humeurs du genre de la bile
amère, si cette maladie est accompagnée d'une forte chaleur, et sur les

1. ϖροσπάσσωμεν Codd. Cf. t. I, p. 70. — 4. καύσαντα ex em.; καύσαντας BF^a MPV; καύσαντες F; deletum ap. A. — Ib. [ἔπειτα] om. Codd. Cf. t. II, p. 71. — Ch. 16; l. 8. νοσήσαντας FF^a; νοσήσαντες BMPV; deletum ap. A. Cf. t. II, p. 73. — Ib. δεῖ A. — 8-9. ἐμβάλλοντος AF^{a}MV; ἐμβαλλόντος P; ἐμβαλόντος F. Cf. t. II, p. 73. — 9. καὶ ἀποπληκτ. om. BFF^{a}MOPV.

3 πικροχόλων, τὰ δὲ σὺν ὄγκοις τῶν φλεγματικῶν. Χρὴ δὲ προλεπτύνειν καὶ τέμνειν τοὺς παχεῖς καὶ γλίσχρους χυμοὺς καὶ τοὺς πόρους, διὰ ὧν οὗτοι μεταλαμβάνονταί τε καὶ ἕλκονται πρὸς τῶν καθαρτικῶν φαρμάκων ἀναστομοῦν, εἰ ἡ κάθαρσις ἀρίστη μέλλει
4 γίνεσθαι κατὰ πάντα. Ἐν ἀρχῇ μὲν οὖν τοὺς ὀρώδεις τε καὶ λεπτοὺς κενώσεις χυμοὺς, ἀναμενεῖς δὲ πέψιν ἐπὶ τῶν παχέων καὶ γλίσχρων, οἷοι τὴν φύσιν ὅ τε τοῦ φλέγματος καὶ ὁ τῆς μελαίνης χολῆς· ἐπὶ δὲ τῶν ἤδη νοσούντων ἐν μὲν τοῖς χρονίοις ἀεὶ τὸν πεπασμὸν ἀναμένειν· ἐν δὲ τοῖς ὀξέσιν ὅταν ὀργᾷ καὶ κατὰ ἀρχὰς οἷόν τε φαρμακεῦσαι μετὰ εὐλαβείας πολλῆς, ἐν κινήσει τε τῶν χυμῶν ὄντων καὶ φορᾷ καὶ ῥύσει· τοὺς δὲ κατὰ ἕν τι μόριον ἐστηριγμένους οὔτε ἄλλῳ τινὶ βοηθήματι χρὴ κινεῖν, οὔτε φαρμακεύειν, πρὶν
5 πεφθῆναι, ἐν ᾧ δὴ καιρῷ καὶ κρίσις γίνεται. Τῶν δὲ καθαιρόντων φαρμάκων κακούντων τὸ στόμα τῆς γαστρὸς, ἡ μῖξις ἐπενοήθη τῶν

3 humeurs pituiteuses, quand elle est compliquée de tumeurs. D'abord on atténue et on divise les humeurs épaisses et visqueuses; on ouvre les conduits à travers lesquels les médicaments purgatifs transportent et attirent ces humeurs, si l'on veut que la purgation soit irrépro-
4 chable sous tous les rapports. Au commencement, on évacue donc les humeurs séreuses et ténues, tandis qu'on attend l'époque de la coction pour les humeurs épaisses et visqueuses, genre d'humeurs auquel appartiennent naturellement la pituite et la bile noire; chez les sujets déjà malades, on attend toujours l'époque de la maturité, dans les affections chroniques; dans les maladies aiguës, il est possible de purger lorsque les humeurs sont turgescentes, c'est-à-dire au début, mais en le faisant avec beaucoup de prudence, quand les humeurs sont en mouvement, en fluxion et en voie de transport; on ne doit ni purger, ni mettre en mouvement, par quelque autre moyen de traitement, celles qui sont fixées dans une partie déterminée, avant qu'elles soient arrivées à coction, car la coction constitue également l'époque où la
5 crise a lieu. Comme les médicaments purgatifs lèsent l'orifice de l'estomac, on a imaginé d'y mêler des substances odoriférantes, afin que le

4. ἀναστομούντων Codd. — Ib. μέλλοι AF. — 13. καί om. A.

εὐωδῶν, ὅπως μὴ μόνη, μηδὲ ἀκραιφνὴς, ἡ δύναμις αὐτῶν ἅπτηται τοῦ στόματος τῆς γαστρός.

ιζ'. Ὅσα κάτω καθαίρει τῶν ἐν τῇ χρήσει.

Μέλας ἐλλέβορος καθαίρει κάτω χολώδη καὶ φλεγματώδη· διδό- 1
ναι δὲ μιγνύντα σκαμμωνίαν· εἰ δὲ πρᾳότερον βούλει καθῆραι,
ἐλλέβορον ἐξαρκεῖ κόψαντα ξηρῶν τῶν ῥιζῶν ἐπιπάσαι γλυκεῖ οἴνῳ
ἢ ὀξυμέλιτι ὅσον δραχμὰς δύο, καὶ ἑψήσαντα ἐν φακῇ, ἢ ἐν πτι-
σάνῃ, ἢ ἐν ζωμῷ ὄρνιθος ῥοφῆσαι, τῆς δὲ σκαμμωνίας μίσγειν ὅσον
τριώβολον πρὸς δραχμὴν τοῦ ἐλλεβόρου. Ἄμεινον δὲ τῷ ἐλλεβόρῳ 2
προσμίσγειν ἀνίσου καὶ πετροσελίνου καὶ δαύκου ὥσπερ χάριν
ἡδύσματος. Ὁ δὲ κνίδιος κόκκος καθαίρει μὲν φλέγμα καὶ χολὴν καὶ 3
ὑδατώδη πολλά· ἔστι δὲ πυρώδης καὶ ὀξύτατος καθῆραι. Διδόναι 4
δὲ πλῆθος ὅσον κόκκους τριάκοντα· εἰ δὲ πρᾳότερον ἐθέλοις, εἴκο-
σιν. Ἀφελεῖν δὲ τὰ περικάρπια, καὶ διδόναι τὰ ἐντὸς τρίψαντα 5

médicament ne vienne ni seul, ni avec toute sa force, frapper cet orifice.

17. MÉDICAMENTS USUELS QUI PURGENT PAR LE BAS.

L'ellébore noir purge des matières bilieuses et pituiteuses; on donne 1
ce médicament mêlé à la scammonée; si on veut provoquer une purga-
tion plus douce, il suffit de piler les racines desséchées et de mettre deux
drachmes de la poudre dans un vin d'un goût sucré, ou dans de l'oxy-
mel; on les prend aussi cuites dans de la bouillie de lentilles, ou d'orge
mondée, ou dans du bouillon de poulet, et on ajoute trois oboles de scam-
monée à une drachme d'ellébore. Il est préférable de mêler à l'ellé- 2
bore noir de l'anis, du persil, ou du daucus, comme assaisonnement.
La baie de Gnide purge la pituite, la bile et beaucoup de matières 3
aqueuses, mais ce médicament est brûlant et son action est très-rapide.
On en administre trente baies, et vingt, si on veut opérer une purgation 4
plus douce. On ôte l'enveloppe des baies et on donne l'intérieur, après 5

Ch. 17; l. 4. βούλει] δεῖ A. — 6. ὀπτήσαντα A. — 12. πλ. ὅσον om. A.

μετὰ μέλιτος καὶ ἀλφίτου, ἢ ἐν μελικράτῳ πιεῖν· ἄμεινον δὲ εἰ
6 μετὰ οἴνου πίνοι. Ἐπὶ δὲ τῇ πόσει βραχὺ ἐλαίου καταῤῥοφῆσαι,
7 ὡς μὴ καίῃ τὴν φάρυγγα. Λαμβάνειν δὲ καὶ μέλιτι ἑφθῷ περιπλάσ-
8 σων τοὺς κόκκους κεκομμένους. Τῆς δὲ λινοζώστεως εἰ μὲν ἑψήσας
ἁπαλῶν τῶν φύλλων ἐσθίοις, ἐκκοπροῖ ἱκανῶς· εἰ δὲ τὸ ἀφέψημα
9 κεράσας οἴνῳ πίνοις, τοῦτο ἰσχυρότερον. Πολυπόδιον δὲ ἄγει φλέγμα
καὶ χολὴν καὶ τὰ ὑδατώδη· διδόναι δὲ τῆς ῥίζης ὅσον δραχμὰς β′
10 ἐπιξέων μελικράτῳ ἢ ὕδατι. Κάκιον δὲ οὐδὲν καὶ ἐπὶ τάριχος ξύ-
11 σαντα φαγεῖν πρὸ τοῦ ἀρίστου. Καθαίρει δὲ καὶ ἐν πτισάνῃ καὶ ἐν
12 ζωμῷ ὄρνιθος ἡ ῥίζα ἑψηθεῖσα οὐ λυπηρῶς. Σικυωνία δὲ ἡ κολοκυν-
θὶς καθαίρει φλέγμα καὶ χολὴν ἄκρατον· διδόναι δὲ ὅσον ∠α′ τῆς
ἐντεριώνης ἐν μελικράτῳ· πρᾳότερον δὲ καθῆραι βουλόμενος, τὸ
μὲν σπέρμα τῆς σικυωνίας ἔκβαλλε, ἐγχέας δὲ οἴνου γλυκέος εἰς τὸν
13 φλοιὸν ἕψει ἐπὶ μαλακῆς τέφρας, ἔστε ἂν καλῶς θερμανθῇ. Τοῦτο

l'avoir broyé avec du miel et de l'*alphiton,* ou on le boit avec de l'eau
6 miellée; il vaut mieux cependant les prendre avec du vin. Après en avoir
bu, on avale un peu d'huile, afin que le médicament ne brûle pas le pha-
7–8 rynx. On prend aussi des baies pilées, enveloppées de miel bouilli. Les
jeunes feuilles de mercuriale, mangées après avoir été bouillies, chas-
sent suffisamment les excréments; mais, si l'on boit la décoction de cette
9 herbe mêlée à du vin, l'action est plus forte. La fougerole expulse la
pituite, la bile et les matières aqueuses; on donne deux drachmes de la
10 racine, râpée dans de l'eau miellée ou dans de l'eau pure. On peut
11 aussi la râper sur du poisson salé qu'on mange avant le déjeuner. La
racine cuite dans de la ptisane, ou dans du bouillon de poulet, purge
12 aussi sans incommoder. Le concombre sauvage ou coloquinte, purge
la pituite et la bile pure; on donne une drachme de la pulpe dans de
l'eau miellée; si on veut provoquer une purgation plus douce, on ôte
les graines, on verse dans l'écorce du vin d'un goût sucré, puis on met
le tout sur de la cendre molle, jusqu'à ce que la préparation soit suffi-
13 samment chaude. On donne cette préparation à boire à ceux qui n'ont

1. ἀλφίτων ABP. — 5. ἐσθίεις AF. καὶ χ. A. — 13. ἐκβάλλει Codd. — 14. — Ib. ἐκκ. καὶ ἱκ. A. — 6-7. καὶ φλ. μαλθακῆς A.

διδόναι πίνειν οἷς τε ἄγειν οὐκ ἰσχυρῶς δεῖ, καὶ οἷς κατὰ τὸ δέρμα
ἐξανθήσεις πελιδναὶ γίνονται. Ἡ δὲ ἀλόη ὀξὺ μὲν καθαρτικὸν οὐκ 14
ἔσ7ι, σ7ομάχῳ δὲ εὐμενέσ7ατον· ἀρκεῖ δὲ ὅσον δραχμὰς β′ μετὰ
μελικράτου πιεῖν. Ἄγει δὲ φλέγμα καὶ χολήν. Ἀγαθὸν δὲ καὶ εἰ ἐπὶ 15–16
ἡμέρᾳ λαμβάνοις ἀπὸ δείπνου· διαχωρεῖ γὰρ καὶ τὰ σιτία οὐκ ἀφα-
νίζει· πρὸς δὲ καὶ ἄδιψόν ἐσ7ι καὶ εὔσιτον. Τρίψαντα δὲ ἐν χυλῷ 17
κράμβης πλάσσειν τὰ μὲν ἡλίκα ἐρεβίνθους, τὰ δὲ κυάμοις ἴσα, καὶ
τούτων λαμβάνειν καὶ δύο καὶ τρία, ὅπως χρήζεις κενοῦσθαι.
Ἐπιτήδειον δὲ καὶ μετὰ ῥητίνης καταπότιον σκευασθὲν καὶ μετὰ 18
ἑφθοῦ μέλιτος· καλῶς δὲ ἂν καὶ σκαμμωνίᾳ μίσγοιτο. Ἐπίθυμον δὲ 19
μελάνων ἐσ7ὶ καὶ φλεγματωδῶν ἀγωγόν· δίδου δὲ κόψας καὶ διασή-
σας μετὰ οἴνου γλυκέος πλῆθος ∠β′, καὶ ἐπὶ πλέον μετὰ μέλιτος
τῶν ἁλῶν προσμίσγων. Συμφέρει δὲ τοῖς φυσώδεσι καὶ ὑποχον- 20
δριακοῖς καὶ ἀπέπ7οις, καὶ οἷς τὸ ἧπαρ βαρύνεται, καὶ τοῖς δυσπνοϊ-
κοῖς. Ἀγαρικὸν δὲ καθαίρει φλέγμα καὶ χολὴν, ἀλλὰ οὐκ ὀξέως· 21

pas besoin d'une purgation trop forte ou qui présentent des efflores-
cences livides sur la peau. L'aloès n'est pas un purgatif violent, et il 14
agit d'une manière très-favorable sur l'orifice de l'estomac; il suffit d'en
boire deux drachmes avec de l'eau miellée. Il chasse la pituite et la bile. 15
Il est bon aussi d'en prendre chaque jour après le repas; car il traverse 16
les intestins sans entraîner les aliments; de plus, il n'excite pas la soif et
aiguise l'appétit. On le broie dans du suc de chou, et on en fait des 17
pilules de la grosseur d'un pois chiche, ou de celle d'une fève; on en
prendra deux ou trois chaque fois qu'on aura besoin d'une évacuation.
Il convient aussi d'en faire des pilules avec de la résine ou du miel cuit; 18
on peut encore le mêler à la scammonée. L'agourre purge les matières 19
noires et les matières pituiteuses; on la pile et on la passe au tamis pour
en donner deux drachmes avec du vin d'un goût sucré, ou plus encore
avec du miel, en y ajoutant du sel. Ce médicament convient à ceux qui 20
sont incommodés par les flatuosités, aux hypocondriaques, à ceux qui
digèrent mal, qui ont de la pesanteur au foie ou qui respirent difficile-
ment. L'agaric purge la bile et la pituite, mais pas trop violemment; on 21

4. *μέλιτος* B text. P. — Ib. *πίνειν* *καὶ χρήζεις* Λ; *ὅπ. χρήζει* BP. — 13. ABP. — 5. *λαμβάνεις* AF. — 8. *ὅπως* *τοῖς* om. Λ.

22 πλῆθος δὲ ∠β′ διδόναι ἐπιπάσσοντα μελικράτῳ ἢ ὀξυμέλιτι. Εὐφόρ-
βιον δὲ καθαίρει μὲν ὑδατώδη πολλὰ καὶ χολώδη· ἔστι δὲ ὀξύτατον
ὧν οἶδα καὶ πυρωδέστατον, ὃ τοῖς μὲν ὑδεριῶσι καὶ κολικοῖς καὶ
ὅσοι ψυχροτέρας ἔχουσι τὰς κοιλίας ἁρμόζει, τοῖς δὲ ἄλλοις τα-
23 ρακτικὸν ἰσχυρῶς καὶ διψῶδες. Μίσγειν δὲ τῶν εὐωδῶν αὐτῷ σπερ-
24 μάτων· πίνειν δὲ ἐν μελικράτῳ ὅσον τριώβολον. Κνῆκος δὲ καθαί-
25 ρει μὲν φλέγμα καὶ χολήν· οὐ μὴν ἰσχυρῶς. Δεῖ δὲ τοῦ σπέρματος
τετριμμένου πιέσαντα τὸν χυλὸν μίσγειν ζωμῷ ὄρνιθος καὶ ῥοφᾶν·
οἱ δὲ ἀνίσῳ καὶ μέλιτι καὶ ἀμυγδάλοις μίσγοντες τοῖς ἰκτερικοῖς
26 καταπότια ποιοῦσιν ἁρμόζοντα. Πλῆθος δὲ τούτου ∠δ′ ἀρκοῦσιν.
27 Ἡ δὲ σκαμμωνία οὐδενὸς μὲν τῶν ἐλατηρίων λείπεται, οὔτε εἰς
ὀξύτητα, οὔτε εἰς ἰσχύν· καρδιαλγὴς δὲ καὶ δύσοσμος καὶ ἀτερπὴς καὶ
ἄγαν διψώδης· ὅθεν οὐ πονηρῶς ἔνιοι ἀλόῃ μίσγοντες προσφέρουσιν·

le donne en poudre, à la dose de deux drachmes, dans de l'eau miellée
22 ou de l'oxymel. L'euphorbe purge les matières aqueuses et bilieuses en
abondance; c'est le plus brûlant et le plus violent des médicaments pur-
gatifs que je connaisse; il convient dans l'hydropisie et dans les maladies
du colon, et aussi à ceux qui ont le ventre passablement froid; chez les
23 autres, il produit des évacuations très-déréglées et cause de la soif. On
y mêle des graines odoriférantes, et on en boit la quantité de trois
24 oboles dans de l'eau miellée. Le carthame purge la pituite et la bile,
25 mais assez faiblement. On triture la graine, afin d'en exprimer le suc,
qu'on mêle à du bouillon de poulet pour le faire avaler; d'autres le
mêlent à l'anis, au miel, ou aux amandes, et en font des pilules qui
26 conviennent dans la jaunisse. Quatre drachmes constituent une dose suf-
27 fisante. La scammonée ne le cède à aucun autre des médicaments purga-
tifs, ni sous le rapport de la rapidité, ni sous celui de l'activité; mais
elle produit de la cardialgie, possède une mauvaise odeur, est désa-
gréable et cause une soif très-vive : ce n'est donc pas à tort que quelques
médecins y mêlent, avant de la donner, de l'aloès; d'autres, des feuilles

1. μελίκρατον Codd. — 2. μέν om. BFP. — 3. πυροδέστατον A; πυρωδέστερον F; πυροδέστερον BP. — Ib. καὶ ὃ A. — 4. ψυχράς A. — 11. ἀσκαμονία F, et sic passim. — 12. δέ om. BFP.

οἱ δὲ θύμου κόμῃ καὶ ἁλσίν· οἱ δὲ καὶ τοῖς εὐώδεσι σπέρμασιν. Ἄγει 28
δὲ φλέγμα καὶ χολὴν ἰσχυρῶς ἄκρατον ὅσον ∠α'. Τῷ δὲ πλεῖον πιόντι 29
τοῦ φαρμάκου, εἰ μὲν ἔμετοι προσίσταιντο, τοῦτο μὲν σέλινον ἀποβάπτοντα εἰς ὄξος μασήσασθαι· τοῦτο δὲ ἐλαίαν λευκὴν ἁλμάδα· τοῦτο δὲ ἁλῶν χόνδρον ἐνθεῖναι τῷ στόματι· ταῦτα γὰρ κωλύει τοὺς ἐμέτους, καὶ προσέτι κορίαννον ὀσφραινόμενον, καὶ γλήχων,
καὶ καλαμίνθη. Κάλλιον δὲ καὶ ἀναπαύειν βραχὺ ἐν τῇ κλίνῃ θάλ- 30
ποντα τὴν γαστέρα καὶ ἄκρους τοὺς πόδας, ὡς τό γε εὐθὺς περιπατεῖν πολλοῖς ἐμέτους καὶ καρδιωγμοὺς καὶ ἰλίγγους παρέσχεν. Ὅταν 31
δὲ ἐν τῇ καταστάσει σφῶν αὐτῶν γένωνται, τότε ἤδη πρὸς τὸν περίπατον ἄγειν κελεύοντα ὑποκινεῖν ἡσυχῇ· τοῦτο γὰρ μᾶλλον ἐρεθίζει ἢ εἰ ὀξέως βαδίζοι. Ληγούσης δὲ τῆς καθάρσεως, κατακλί- 32
ναντα ἡσυχάζειν ἐγρηγορικῶς· μᾶλλον γὰρ συνδίδωσιν. Τηνικαῦτα 33
δὲ καὶ ἐπιῤῥοφεῖν κατὰ ὀλίγον μεταξὺ θερμοῦ ὕδατος· καὶ γὰρ

de *thym* et du sel; d'autres encore, des graines odoriférantes. A la dose 28
d'une drachme, elle chasse activement la pituite et la bile pure. Si une 29
dose trop forte du médicament entraîne des vomissements, on donne à mâcher, tantôt du céleri trempé dans du vinaigre, tantôt une olive blanche salée; tantôt, enfin, on met un grain de sel dans la bouche; ces précautions empêchent les vomissements; la coriandre, le pouliot
ou la *calaminthe*, produisent le même effet, si on les fait respirer. Ce qui 30
vaut mieux encore, c'est de se reposer un peu dans le lit, en tenant le ventre et les pieds chauds : une promenade, faite immédiatement après,
excite souvent des vomissements, de la cardialgie et des vertiges. C'est 31
seulement lorsque les malades sont revenus à leur état habituel qu'il faut les laisser promener, en leur prescrivant de se mouvoir doucement,
car cela excite plus la purgation que si l'on marche vite. Quand la pur- 32
gation cesse, on se couche et on se repose sans dormir : car, de cette
façon, les parties se relâchent davantage. Il faut alors, dans les inter- 33
valles, avaler aussi, par petites gorgées, de l'eau chaude, pour faire cesser les pincements, en lavant les intestins, et provoquer les évacua-

1. κόμην Codd. — 3. προΐσταιντο AF; προΐσταντο BP. — 6. καί ante γλ. om. F. — 9. παρέχει A. — 14. γάρ om. BFP.

34 *τοὺς δηγμοὺς ἀποπλύνει καὶ τὰς ἐκκρίσεις παρορμᾷ.* Μὴ *καθαιρομένων δὲ μελικράτου τε ἐπιῤῥοφεῖν καὶ νίτρου τετηκότος ἐν ὕδατι· βέλτιον δὲ καὶ βάλανον προσθέσθαι διὰ ἁλῶν καὶ νίτρου.*

ιη'. Πῶς *ἄν τις καλῶς ἐμοίη;* Ἐκ *τῶν* Ῥούφου.

1 Ἐπειδὴ *τοῖς συντόνως ἐμοῦσι πολλὰ ἄτοπα παρακολουθεῖν εἴωθε, καλῶς ἔχει τρόπους εἰπεῖν κατὰ οὓς ἔνεστιν εὐπετῶς ἐμεῖν· καὶ γὰρ φλέγμα κενοῖ καὶ κεφαλὴν ἐπικουφίζει, καί ποτε καὶ προθυμότερον φαγόντα ἀπεπτῆσαι, καὶ οἴνου πλείονος λαβόντα βλαβῆναι*
2 *κωλύει.* Ἔστω *δὴ τὰ προσφερόμενα μὴ στρυφνὰ καὶ ξηρὰ, ἀλλὰ τὰ μὲν τοῦ γλυκυτέρου τρόπου καὶ ὑγροτέρου, τὰ δὲ τοῦ δριμυτέρου.*
3 Δοκεῖ *δὲ ἐν τούτοις ῥαφανὶς εὐδοκιμεῖν, καὶ εὔζωμον, καὶ τάριχος παλαιὸν, καὶ ὀρίγανος χλωρὰ, καὶ κρομμύου ὀλίγον καὶ πράσου.*
4 Συνεργεῖ *δὲ τοῖς ἐμέτοις καὶ τῶν ὀσπρίων αἵ τε πτισάναι μέλιτος*

34 tions. Si la purgation n'a pas lieu, on boit de l'eau miellée, ou de la soude brute fondue dans de l'eau; le mieux est d'appliquer aussi un suppositoire fait avec du sel ou de la soude brute.

18. COMMENT ON VOMIT AVEC FACILITÉ. — TIRÉ DE RUFUS.

1 Comme les gens qui sont obligés de faire des efforts pour vomir éprouvent habituellement un grand nombre d'accidents, il est bon d'exposer les méthodes qui permettent de vomir avec facilité : car le vomissement évacue la pituite et soulage la tête, quand elle est lourde; quelquefois aussi il évite une indigestion à celui qui a mangé avec trop d'avidité, et met à l'abri de tout dommage celui qui a bu trop de vin.
2 Les aliments ne doivent donc être ni très-âpres, ni secs, mais ils appartiendront en partie à la classe des substances humides et d'un goût sucré,
3 et en partie à celle des substances âcres. Parmi ces aliments, une certaine réputation semble être acquise au raifort, à la roquette, aux salaisons vieilles, à l'origan vert, à l'oignon et au poireau, les deux derniers pris en
4 petite quantité. Parmi les graines farineuses, la ptisane dans laquelle on

3. *βάλανον*] *βῶλον* BFP. — Ch. 18; l. 4. *συντόμως* AF. — 6. *κουφίζει* BP. — 8. *δὲ τά* BP; *δηλονότι τά* F. — 9. *γλυκεροῦ* A. Cf. t. II, p. 198.

ἔχουσαι, καὶ τὰ ἀπὸ κυάμων ἔτνη, καὶ τὰ πίονα τῶν κρεῶν,
ἀλλὰ ὅπως μὴ μόνον τοὺς χυλοὺς αὐτῶν λαμβάνοις, ἀλλὰ ὅλους τοὺς
ὄγκους κατάπινε. Μὴ τοίνυν μηδὲ περὶ τὴν μάσησιν ἱκανῶς διά- 5
τριβε μέλλων ἐμεῖν· τῇ δὲ ἑψήσει μαλακὰ πάντα ἔστω. Δῆλον δὲ 6
ὅτι καὶ τῶν οἴνων τοὺς γλυκυτέρους αἱρετέον· οὗτοι γὰρ ἐπιπολα-
στικώτεροι· καὶ χλιαρωτέρῳ χρῆσθαι τῷ ποτῷ. Χρὴ δὲ καὶ ἀμύγδαλα 7
εἰς μέλι βάπτοντα ἐσθίειν, καὶ πλακοῦντος γεύεσθαι τηνικαῦτα,
καὶ πέπονος σικύου τὸ σπέρμα βρέξαντα καὶ λεάναντα μετὰ μέλιτος
προσφέρεσθαι. Ποιεῖ δὲ καὶ ἡ ῥίζα τοῦ σικύου τετριμμένη μετὰ 8
μέλιτος· οἱ δὲ ἰσχυροτέρῳ βουλόμενοι χρῆσθαι ναρκίσσου βολβὸν
ἑψήσαντες ὕδατι τούτῳ κεραννύουσι τὸν οἶνον. Προτρέπει δὲ ἐμεῖν 9
καὶ ἴρινον μύρον εἴ τις διαχρίσας τοὺς δακτύλους ἐρεθίζοι. Ἐμετικὸν 10
δὲ καὶ τὸ μὴ ἀνεῖναι καὶ διαλιπεῖν. Ἐπὶ τοῖς ἐμέτοις τό τε στόμα 11

a mis du miel favorise aussi les vomissements, ainsi que les purées de
fèves; il en est de même des viandes grasses : seulement, gardez-vous
de ne prendre que le bouillon de ces viandes, mais mangez la viande elle-
même. On évitera, en mangeant, une mastication prolongée, quand on 5
veut vomir; tous les aliments doivent être ramollis par la cuisson. Parmi 6
les vins, on doit évidemment préférer ceux qui ont un goût sucré, car
ils ont plus de tendance à surnager dans l'estomac que les autres; la
boisson qu'on prendra doit être tiède. Alors on mangera aussi des 7
amandes trempées dans du miel, et on prendra un morceau de gâteau
et des graines de pastèques macérées et triturées avec du miel. La racine 8
de concombre triturée avec du miel agit aussi dans ce sens, mais ceux
qui veulent un moyen plus efficace font bouillir un oignon de narcisse
dans de l'eau et coupent le vin avec cette eau. L'huile aromatisée d'iris, 9
portée sur le gosier à l'aide des doigts, provoque aussi les vomisse-
ments. Ne se donner ni cesse ni repos est aussi un moyen de provoquer 10
des vomissements. Après les vomissements, on se rincera la bouche et 11

1. τῶν κυάμων BP. — 3. καταπίνειν BFP. — Ib. ἱκανῶς om. A. — 5. οἴνων ὡς ὅτι τούς Codd. Cf. t. II, p. 199. — 6. καί ante ἀμύγδ. om. AF. — 9. τετμημένη BFP; delet. ap. A. Cf. t. II, p. 199. — 10. ἰσχυρότερον BFP; delet. ap. A. — Ib. ναρκίσου Codd.

διακλύζειν καὶ τὴν ὄψιν ἀπονίπτειν ὀξυκράτῳ ὑδαρεῖ· καὶ γὰρ τοῖς ὀδοῦσι συμφέρει καὶ διακουφίζει τὴν κεφαλήν.

ιθ'. Περὶ κλυσμῶν. Ἐκ τῶν Ῥούφου.

1 Τῶν ἐνιεμένων διὰ κλυστῆρος οἱ μέν εἰσιν ἀπαλοὶ, οἱ δὲ δριμεῖς· τῶν δὲ ἀπαλῶν ὕδωρ μὲν αὐτὸ κατὰ ἑαυτὸ ποιεῖ κομιδῆς ἕνεκα κοπρίων ἐν συνεχέσι πυρετοῖς καὶ κακοήθεσι, καὶ ἐπὶ ὧν ἐκ μακρᾶς ἀσθενείας ἀναλαμβανόντων δυσχερεῖς αἱ ἄφοδοι γίνονται, καὶ ἐπὶ ὧν δὲ ἀνειλήσεις τῶν πνευμάτων γίνονται· θερμότερον δὲ ἐνήσομεν,
2 ὡς πνευματοῦντος τοῦ χλιαροῦ, καὶ κατὰ μίαν ἔκθλιψιν. Τήλεως δὲ ἀφέψημα ἐπὶ γυναικῶν ἐνίεμεν καὶ ἐπὶ τῶν τρυφερῶν· ὁμοίως δὲ καὶ μαλάχης, καὶ μάλιστα ἐπὶ ὧν ξηρότης ἐστίν· ἐπὶ ὧν δὲ καὶ
3 δήξεις εἰσὶ, λινοσπέρμου. Ὁ δὲ τῶν πιτύρων χυλὸς, ἔτι δὲ τράγου, ἄρτου τε καὶ χόνδρου καὶ τρόφιμόν τι ἔχουσι, καὶ γίνεται πολλά-

on se lavera la figure avec du vinaigre coupé de beaucoup d'eau, car cette pratique est avantageuse pour les dents et rend la tête légère.

19. DES LAVEMENTS. — TIRÉ DE RUFUS.

1 Les liquides qu'on injecte avec le *clystère* sont les uns émollients et les autres âcres; parmi les lavements émollients, l'eau simple agit pour enlever les matières fécales dans les fièvres continues et de mauvaise nature, et aussi quand la défécation est difficile dans les convalescences à la suite d'une longue maladie, ou chez les malades qui ont des vents qui roulent; on injecte ce liquide à une température assez chaude, parce que
2 l'eau tiède développe des gaz, et on vide le *clystère* d'un seul coup. La décoction de fenugrec convient chez les femmes et chez les gens délicats; il en est de même pour la décoction de mauve, mais on y a surtout recours quand il y a de la sécheresse; quand il y a, en outre, des picote-
3 ments, on injecte la décoction de graine de lin. La décoction passée de son, de *tragos*, de pain ou d'*alica*, a en outre quelque chose de nutritif, et, après avoir évacué les matières fécales, on est souvent dans la

CH. 19; l. 4. τῶν .... κομιδῆς τῶν γυν. ABP. — 10. *καί* ante δήξεις om. BP. — 7. ἐνίεμεν A. — 9. ἐπὶ om. A.

κις χρεία μετὰ τὸ κενῶσαι τὰ σκύϐαλα τροφῶδές τι ϖροσπαραθεῖ-
ναι· ἁρμόζει δὲ καὶ ταῖς ἐπιπολαίοις τῶν ἐντέρων ἑλκώσεσιν ἡ
τοιαύτη ἔνεσις. Ἁρμόζει δὲ ἐπὶ τούτων καὶ ϖlισάνη ϖροσλαϐοῦσα 4
χοίρειον σlέαρ. Ὁ δὲ τοῦ σεύτλου χυλὸς καὶ τὸ ἀφέψημα ἁρμόζει 5
ἐνιέμενα ϖρὸς εἰλιγμοὺς τῶν ἐντέρων καὶ ϖαλμούς· διαλύει δὲ καὶ
σκύϐαλα, καὶ τοῖς διηνεκέσιν ὀδαξησμοῖς ἀντιϐαίνει. Ἀνδράχνης δὲ 6
χυλὸς χρήσιμος ἐπὶ τῶν ἐκπυρώσεων τῶν τε ἄλλως ϖαρακολουθου-
σῶν, καὶ ἐπὶ ὧν διὰ ἔκκρισιν σκληρῶν σκυϐάλων διακριθέντων δια-
ταθεὶς ὁ σφιγκτὴρ ἐρυσιπελατώδη διάθεσιν ἀνεδέξατο· ϖροσμίγνυ-
ται δὲ ἐπὶ τῶν τοιούτων καὶ ᾠόν. Καὶ ἔλαιον ἐπὶ ϖάσης φλεγμονῆς 7
κατὰ ἑαυτὸ ἁρμόζει, καὶ ἐπὶ ὧν γίνονται σlρόφοι διὰ ϖνεύματα·
διαλυτικώτερον δὲ μᾶλλον τῶν ϖνευμάτων ἐσlὶ ϖηγάνου ἀφέψημα,
ἢ κυμίνου, ἢ ἀνήθου, ἢ δαφνίδων· καὶ τοῖς ἀπὸ ψυγμοῦ ϖυρέτlου-
σιν. Γάλα δὲ ἐνίεται ἑλκώσεως οὔσης καὶ φλεγμονῆς ϖερὶ τὰ ἔντερα, 8
νεφρούς, κύσlιν, ὑσlέραν· ϖροσλαμϐάνει δὲ τονώσεως χάριν καὶ

nécessité de donner ensuite quelque chose de nutritif; un lavement de cette nature convient aussi en cas d'ulcération superficielle des intestins.
La ptisane à laquelle on ajoute de la graisse de porc est également bonne 4
dans ces circonstances. Les lavements de suc ou de décoction de bette 5
conviennent contre les tortillements et les palpitations des intestins ; ils dissolvent aussi les matières fécales et s'opposent à la persistance de la
cuisson. Le suc de pourpier est utile dans les ardeurs [des intestins], de 6
quelque cause qu'elles proviennent, mais surtout dans les cas où, par suite de l'excrétion de matières fécales globuleuses et dures, le sphincter est distendu et frappé d'une affection érésipélateuse; dans ces cas,
on y mêle aussi un œuf. Un lavement d'huile pure convient dans toute 7
inflammation, ou lorsqu'il y a des coliques produites par des flatuosités; mais une décoction de rue, de cumin, d'aneth ou de baies de laurier, dissipe plus efficacement les vents; le lavement d'huile convient aussi
aux gens affectés d'une fièvre qui tient à un refroidissement. On donne 8
des lavements de lait dans les inflammations et les ulcérations des intestins, des reins, de la vessie et de l'utérus; dans le but de renforcer,

1-2. ϖαραθεῖναι P; ϖαρατεθεῖναι B; τούτοις ϖεριθεῖναι A. — 4. τεύτλου A. — 5. ἰλίγγους Codd. Cf. t. II, p. 208. — 8. ἐκκριθέντων A. Cf. t. II, p. 209.

μέλι καὶ χήνειον σlέαρ ἢ ὕειον· ὑδρέλαιον δὲ ἐπὶ διατάσεων ἐν κατοχῇ κοπρίων· ὁμοίως δὲ καὶ ἄσφαλτος, ὅταν ἀπὸ ψύξεως συμβαίνωσιν· τὸ δὲ βούτυρον ἐπὶ ὧν διὰ φλεγμονὴν ἀπευθυσμένου κατέχεται τὰ σκύβαλα, καὶ ῥυπαρῶν ἑλκώσεων οὐσῶν περὶ τὸ ἔντερον· μαλάχης δὲ χυλὸς καὶ ἀφέψημα ἐπὶ μακρῶν σlρόφων καὶ
9 *φλεγμονῶν περὶ τὰ ἔντερα καὶ ἕδρας συμπασχούσης. Μελίκρατον δὲ ἐνίεται, ὅταν ἀπαθῆ μὲν ᾖ τὰ μόρια, δυσμάλακτον δὲ τὸ κο-*
10 *πρίον. Οἴνῳ δὲ καὶ ἐλαίῳ, ἢ χυλῷ πlισάνης, ἢ μαλάχης κλύζομεν τοὺς ὀπὸν μήκωνος εἰληφότας, οἴνῳ μετὰ ῥοδίνου, καὶ λεκίθῳ ᾠῶν εἰς γλυκὺν ἢ ῥόδινον ἐναφηψημένῃ ἐπὶ τῶν τεινεσμωδῶς ὀχλουμέ-*
11 *νων ἐν ἀρχῷ. Ὑδρόμελι δὲ ἢ φακοῦ ἀφέψημα μετὰ μέλιτος ἐνίεμεν,*

on y ajoute du miel, ou de la graisse d'oie ou de porc; on injecte un mélange d'huile et d'eau en cas de distension [des intestins] compliquée de rétention des matières fécales; on a de même recours au bitume de Judée quand cette distension tient à un refroidissement; on administre un lavement de beurre quand les matières sont retenues par suite d'une inflammation du rectum, ou quand il existe des ulcères sordides dans les intestins; on injecte du suc ou de la décoction de mauve contre les coliques de longue durée, lorsqu'il y a inflammation
9 des intestins, ou quand l'anus est affecté sympathiquement. On donne un lavement d'eau miellée, lorsque les parties elles-mêmes sont saines,
10 mais que les matières fécales sont difficiles à ramollir. On emploie un mélange de vin et d'huile, de la crème d'orge mondée ou du suc de mauve, chez les gens qui ont pris du suc de pavot, et soit du vin combiné à l'huile aux roses, soit un jaune d'œuf bouilli dans du vin d'un goût sucré ou dans de l'huile aux roses, quand le malade ressent, à l'anus,
11 une espèce de ténesme. Si un abcès du colon s'est rompu, on injecte de l'hydromel, ou une décoction, soit de lentilles, soit d'ers, combinée

1. *ὕειον*] *αἴγειον* BP. — Ib. *ὑδρελαίῳ* BFP; delet. ap. A. — Ib. *ἐν* om. BP. — 2. *ἄσφαλτον* BFP; delet. ap. A. — 4. *τά* om. Codd. Cf. t. II, p. 210. — Ib. *ἑλκῶν ὄντων* A. — 6. *Μελικράτῳ* F; *Καὶ μελίκρατον* A. — 7. *ἐνίεμεν* A. — Ib. *ἔντερα* A. — 8. *ἐλαίῳ καὶ χυλῷ* F. — 9. *οἶνον δέ* AF; *οἶον* BP. — 10. *γλυκύ* Codd. — Ib. *ἐναφεψημένον* BFP; *ἐναφεψημένων* A. — Ib. *τεινεσμ.* om. A. — 10-11. *ὀχληθέντων* A. — 11. *ἀρχῇ* F; *ἀρχαῖς* BP.

ἢ ὀρόβου ὁμοίως, ἢ πτισάνης χυλὸν μετὰ ῥοδίνου, ἀποστήματος ῥα-
γέντος ἐν τῷ κόλῳ. Μέτρον δὲ τῶν ἐνιεμένων τὸ μὲν πλεῖστόν εἰσι 12
τρεῖς κοτύλαι, τὸ δὲ ἔλαττον μία. Πολλάκις δὲ καὶ δὶς ἐνίεμεν καὶ 13
τρὶς, καὶ μάλιστα ἐπὶ ὧν ἕλκωσις καὶ φλεγμονὴ περὶ τὸ ἀπευθυ-
σμένον ὑπάρχουσα ἐπέχει τὰ ὑπερκείμενα σκύβαλα. Τοῖς δὲ δριμέσι 14
χρώμεθα ἐπί τε ἰσχιαδικῶν καὶ ὀρθοπνοϊκῶν μὴ ἀπὸ στομάχου θλι-
βομένου τοῦ πνεύματος· ὀνησιφόροι δὲ οἱ αἱμαγωγοὶ, οἷον γάρος
σιλούρου, ἅλμη καὶ θάλασσα. Ἔστι δὲ καὶ σκευαστὸς τοιόσδε· μέ- 15
λιτος κοτύλης ἥμισυ, ὕδατος κοτύλαι δύο, ἁλῶν ὁλκαὶ τρεῖς, ἐλαίου
κοτύλης τέταρτον· παραπλέκουσι δέ τινες καὶ ᾠὰ δύο. Τοῖς δὲ τοὺς 16
θανασίμους μύκητας φαγοῦσιν ἐνίεται νίτρον καὶ ἀψίνθιον καὶ ῥα-
φάνου χυλὸς καὶ πηγάνου ἀφέψημα· ἐπὶ δὲ παραλύσεως τοῦ ἀπευ-
θυσμένου ἐντέρου ἅλμη· τοῖς δὲ ἀσκαρίδας γεννῶσιν ἅλμη ἢ κενταυ-
ρίου ἀφέψημα, ἢ ἀψινθίου, ἢ θέρμων, ἢ ἀλόη ἢ κεδρία μετά τινος

avec du miel, ou encore de la crème d'orge mondée combinée à l'huile
aux roses. Le liquide injecté est de trois cotyles au plus et d'une au 12
moins. Souvent aussi on donne le lavement en deux ou trois fois, surtout 13
lorsqu'une inflammation, ou une ulcération du rectum retient les ma-
tières fécales placées au-dessus. Nous employons des lavements âcres, 14
en cas de sciatique ou d'orthopnée, pourvu que, dans le dernier cas,
l'embarras de la respiration ne tienne pas à l'orifice de l'estomac; dans
ce cas, les lavements qui expulsent du sang, par exemple, le garon de
silure, l'eau de mer et l'eau salée, sont avantageux. On peut aussi re- 15
courir au lavement composé suivant, qu'on tiendra préparé d'avance :
miel, une demi-cotyle; eau, deux cotyles; sel, trois drachmes; huile,
un quart de cotyle; quelques-uns y ajoutent encore deux œufs. On 16
donne des lavements de soude brute, d'absinthe, de suc de raifort et
de décoction de rue pour combattre l'empoisonnement par les champi-
gnons vénéneux; d'eau salée, contre la paralysie du rectum; d'eau salée,
ou d'une décoction de centaurée, d'absinthe, de lupins, à laquelle on
peut ajouter de l'aloès, ou de la résine de cèdre, contre les ascarides;

2. κοίλω Codd. — 3. μία, τὸ δὲ μέσον δύο BP. — 13. ἅλμην ἢ Codd. — 14. ἀψίνθιον Codd. — Ib. ἀλόης Codd. — Ib. κεδρίαν FP; κεδρίας B; κεδρέας A.

τῶν ἀφεψημάτων· τοῖς δὲ ἕλμινθας γεννῶσι θέρμων ἀφέψημα ἢ ἀπόϐρεγμα, ἢ ῥοῦς, ἢ ἅλμη· τεινεσμώδεσι δὲ προθυμίαις ὑπερϐαλλούσαις ἅλμη ὀλίγη· ἀκρατήτῳ δὲ αἵματος ῥύσει διὰ ἕλκωσιν ἐντέρου πολυγόνου χυλὸς, ἢ ἀρνογλώσσου, ἢ μύρτων μελάνων ἐν
17 οἴνῳ ἑψηθέντων. Προσμίγνυμεν δὲ ἐπὶ τῶν προειρημένων καὶ λίϐα-
18 νον, ἢ ἀκακίαν, ἢ ὑποκιστίδα, ἢ σίδιον, ἢ στυπτηρίαν. Ἑλκώσεσι
δὲ ἐντέρων ἀῤῥευματίστοις γάλα ἐνίεμεν αἴγειον καὶ βόειον, καὶ λυκίου ∠β', ἢ γῆς σαμίας ∠δ'· ῥευματιζομέναις δὲ καὶ πλαδώσαις ἑλκώσεσι χάρτου κεκαυμένου, ἢ σχοίνου τέφραν, ἢ τοῦ διὰ χάρτου μετὰ ὕδατος, ἢ ἀφέψημά τι τῶν στυφόντων.

κ'. Περὶ βαλάνων.

1 Χρώμεθα δὲ βαλάνοις πολλάκις σκυϐάλων ἐκκρίσεως ἕνεκεν, καὶ

d'une décoction ou d'une infusion de lupins, d'eau salée, ou de sumac, contre les autres vers intestinaux; d'un peu d'eau salée, lorsqu'il y a des envies exagérées d'aller à la selle qui ressemblent au ténesme; contre un écoulement de sang tenant à l'ulcération des intestins et dont on ne peut triompher, on donne du suc de renouée des oiseaux, de plantain,
17 ou de baies de myrte noires cuites dans du vin. Dans tous les cas sus-
dits, on ajoute aussi de l'encens, du suc d'acacia, de l'hypocistis, des
18 écorces de grenades, ou de l'alun. Dans les ulcérations des intestins
exemptes de fluxion, on donne un lavement de lait de chèvre ou de vache, ou bien de deux drachmes de suc de nerprun des teinturiers, ou de quatre drachmes de terre de Samos; lorsque les ulcérations sont compliquées de fluxion et d'excès d'humidité, on injecte des cendres de papier de papyrus ou de roseau, ou le médicament au papier, après l'avoir délayé dans l'eau, ou une décoction de quelque médicament astringent.

20. DES SUPPOSITOIRES.

1 On emploie souvent des suppositoires pour évacuer les matières

1. Post. ἀφεψημάτων· Ἐμοὶ δὲ τῇ πείρᾳ ὁ χυλὸς τῆς μυώτιδος βοτάνης πινόμενος ἐπὶ ἡμέρας τρεῖς ὅσον τέταρτον ξέστου πολλάκις τὸ δέον ἤνυσεν Codd. — 2. ἢ ῥοῦν ἢ ἅλμην Codd. — 3. ἅλμην ὀλίγην Codd. — 4. μελάνων καὶ λίϐανον ἐν F. — 6. σιδίων Codd. — 7. ἐντέρου BFP. — Ib. αἴγειον ἢ βόειον AF. — 9. σχίνου Codd. — 10. ἀφεψήματος AB. Cf. t. II, p. 218.

ἐπὶ ὧν τὸ ἐνεθὲν διὰ κλυσῆρος οὐκ ἐκκρίνεται· πλάσσεται δὲ βα-
λάνια ἐξ ἁλὸς ὀπτοῦ καὶ μέλιτος καὶ νίτρου. Καὶ θύμος δὲ τῷ 2
ἀπέφθῳ μέλιτι μίσγεται. Πλάσσεται δὲ καὶ ἐκ ῥητίνης τερεβινθί- 3
νης καὶ νίτρου, καί ποτε καὶ κόκκου κνιδίου συμμέτρου· δήξεις δὲ
ἐγείρει· διὸ χριστέον τὰ μέρη ἐλαίῳ. Ἔτι δὲ καὶ πύρεθρον ἢ πέ- 4
περι ἐλαίῳ παραπλέκεται, καὶ ἁρμόζει παραλυτικοῖς καὶ ταῖς ὑπὸ
ψύξεως ἐμπνευματώσεσιν. Κενταύριον δὲ παραπλέκεται πίσσῃ καὶ 5
κηρωτῇ καὶ ἔστιν ἐπιτήδειον παρέσεσιν αἰδοίου. Ἐπὶ δὲ τῶν νηπίων 6
καὶ χόνδρος ἁλὸς ἐντίθεται. Ἀναπλάσσεται δὲ καὶ σῦκον μετὰ νί- 7
τρου, ἢ σταφὶς μετὰ νίτρου καὶ κυμίνου.

κα'. Περὶ τῶν κενωτικῶν τῆς κεφαλῆς.

Τοὺς ἐν τῇ κεφαλῇ χυμοὺς διὰ τῶν πτυσμάτων κενοῦμεν, εἰ μὲν 1
ἐπὶ βραχὺ τοῦτο πρᾶξαι βουληθείημεν, ἀναμιγνύντες μαστίχῃ πέ-
περι· πλέον δὲ κενῶσαι βουλόμενοι, πύρεθρον ἢ σταφίδα τὴν ἀγρίαν

fécales, ou quand on ne rend pas les lavements; on façonne les supposi-
toires avec du sel grillé, du miel et de la soude brute. On ajoute aussi 2
du *thym* au miel cuit. On emploie aussi de la résine de térébenthi- 3
nier et de la soude brute, en y ajoutant quelquefois une petite quantité
de baies de Gnide; mais, comme ce suppositoire produit des picote-
ments, on oindra les parties avec de l'huile. En outre, on peut mélanger 4
de la pariétaire d'Espagne ou du poivre avec de l'huile; ce suppositoire
convient en cas de paralysie ou de gonflement par les gaz, tenant à un
refroidissement. On ajoute de la centaurée à de la poix et du cérat, et 5
on obtient ainsi un suppositoire qui convient contre les paralysies du
membre génital. Chez les petits enfants, on introduit aussi un grain de 6
sel. Enfin, on peut encore imprégner une figue de soude brute, ou un 7
raisin sec de soude brute et de cumin.

21. DES MÉDICAMENTS QUI DÉBARRASSENT LA TÊTE.

On évacue les humeurs contenues dans la tête au moyen des cra- 1
chats; pour obtenir cet effet à un faible degré, on donne à mâcher du
mastic mêlé avec du poivre; si on veut agir plus fortement, on donne

3. ἀπέσθω A; ἀπηφρισμένω BFP. Cf. t. II, p. 256.

2 μασᾶσθαι κελεύοντες. Καὶ ἀνεμώνης δὲ πάσης ῥίζα διαμασωμένη
3 φλέγμα προκαλεῖται, καὶ καππάρεως τῆς ῥίζης ὁ φλοιός. Ὀρῶδες
μὲν οὖν περίττωμα διὰ τῶν τοιούτων κενοῦται· τὸ παχὺ δὲ καὶ
φλεγματῶδες ἀνακογχυλιζόμενον νᾶπυ μετὰ ὀξυμέλιτος, ἢ σίραιον
ὀρίγανον ἢ ὕσσωπον ἀφηψημένον ἔχον· ἐγὼ δὲ μίγνυμι τοῦτο τῷ
4 μετὰ ὀξυμέλιτος νάπυϊ. Εἰ δὲ καὶ ἀπὸ μύξης ἐκκαθαίρεσθαι δέοι τὸν
ἐγκέφαλον, προτρέψομεν αὐτὴν ἐρεθίζοντες φαρμάκοις δριμέσιν ὧν
5 ἔνια καὶ πταρμὸν κινεῖ. Καθαίρει μὲν οὖν διὰ ῥινὸς ἀναγαλλίδος
ἑκατέρας ὁ χυλὸς, ἀνεμώνης τε πάσης, καὶ τεύτλου χυλός· καὶ σικύου
ἀγρίου φύλλων ὁ χυλὸς ἐγχεῖται ταῖς ῥισὶν, αὐτός τε κατὰ ἑαυτὸν
καὶ μετὰ τεύτλων ἀφεψήματος ἢ χυλοῦ· πταρμὸς δὲ ἐπὶ τοῖς ὠμοῖς
χυμοῖς τοῖς κατὰ θώρακα καὶ πνεύμονα καὶ κεφαλὴν μέρεσι πε-
6 ριεχομένοις οὐ συμφέρει. Διάχριστον δὲ στόματός ἐστι τοιόνδε·
σάπωνα διεὶς τεύτλου χυλῷ χρῖε τὰ κατὰ τὸν οὐρανίσκον καὶ τὸν

2 de la pariétaire d'Espagne ou de la staphisaigre. La racine de toutes les
espèces d'anémone, l'écorce de la racine du câprier mâchées, attirent
3 aussi la pituite. Les médicaments de ce genre évacuent les résidus sé-
reux; pour expulser les résidus pituiteux épais, on se gargarise avec la
moutarde incorporée dans l'oxymel, ou avec du vin doux cuit, dans le-
quel on a fait bouillir de l'origan ou de l'*hysope;* je mêle cette dernière
4 préparation à la moutarde incorporée dans l'oxymel. S'il s'agit, en outre,
de débarrasser le cerveau du mucus, on met ce mucus en mouvement
en irritant le cerveau à l'aide de médicaments âcres, dont quelques-uns
5 provoquent aussi des éternuments. Ainsi le suc des deux espèces de
mouron, celui de toutes les espèces d'anémone et celui de la bette, pur-
gent par le nez; on peut encore faire une injection dans les narines avec
du suc de feuilles de concombre sauvage, qu'on emploie seul ou com-
biné à une décoction ou à du suc de la bette; toutefois l'éternument
ne convient pas quand les organes de la poitrine, de la tête, et le pou-
6 mon, contiennent des humeurs crues. On peut employer le liniment sui-
vant pour oindre la bouche : dissolvez du savon dans du suc de bette et
oignez-en la région du palais et de la luette; vous obtiendrez de beaux

1-2. διαμ. . . . ῥίζης om. F. — 7. δριμυτέροις BP.

κίονα, καὶ καλῶς ϖοιεῖ. Τὸ δὲ αὐτὸ καὶ ἔῤῥινόν ἐσ7ιν. Εὐπορίσ7ῳ 7-8
δὲ ϖολλάκις ἐχρησάμην ἐγχεομένῳ τῇ ῥινὶ μελανθίῳ, ϖοτὲ μὲν
ὄξει δριμεῖ διαβρέχων ϖρὸ μιᾶς ἡμέρας, εἶτα τῇ ὑσ7εραίᾳ σὺν ὄξει
ϖάλιν λειῶν καὶ ἐγχέων εἰς τὴν ῥῖνα· ἐνίοτε δὲ ἐλαίῳ ϖαλαιῷ τὸ
αὐτὸ μελάνθιον λειῶ, καὶ ὁμοίως χρῶμαι. Οὕτω μὲν οὖν αὐτῷ χρῆται 9
καὶ Ἀρχιγένης ἐπὶ ἐμφράξει μυκτήρων· τῷ δὲ ϖροτέρῳ τῷ διὰ τοῦ
ὄξους ὁ Κρίτων ἐπὶ τῶν ἰκτερικῶν.

κβ'. Ὅσα ἐμμήνων ἀγωγά.

Τὰ διουρητικὰ ϖάντα, κράμβης ῥίζης τὸ ἀφέψημα ϖινόμενον, 1
ϖερσέας ῥίζα, καὶ ϖήγανον, καὶ χρυσάνθεμον, καὶ δίκταμνον, καὶ
εὐζώμου σπέρμα. Κινεῖ δὲ καὶ τὰ ϖροσθετὰ τῷ σ7όματι τῆς ὑσ7έ- 2
ρας ϖροσαγόμενα, ὥσπερ ϖήγανον λεῖον μετὰ μέλιτος, ἢ ἀνήθου
τῆς ῥίζης κεκαυμένης ἢ σποδιὰ μετὰ μέλιτος, ἢ ϖράσου χυλὸς, ἢ

résultats. Le même remède peut aussi être employé comme injection 7
dans les narines. Je me suis souvent servi de la nielle comme d'un re- 8
mède propre à être injecté dans le nez et qu'on se procure facilement;
quelquefois je fais macérer cette herbe dans du vinaigre fort la veille
du jour où je veux l'employer; le lendemain, je la triture de nouveau
avec du vinaigre et je l'injecte dans le nez; ou bien je triture cette même
herbe avec de l'huile vieille et je l'administre de la même façon. Archi- 9
gène employait cette dernière préparation dans le cas d'obstruction des
narines; Criton, au contraire, chez les malades affectés de jaunisse, usait
de la première, où le vinaigre sert d'excipient.

22. MÉDICAMENTS QUI PROVOQUENT LES RÈGLES.

Tous les diurétiques, la décoction de racine de chou, prise comme 1
boisson, la racine de *persée*, la rue, le chrysanthème, le dictame de Crète,
et la graine de roquette [sont emménagogues]. Les pessaires appliqués 2
à l'orifice de l'utérus provoquent également les règles : par exemple, la
rue triturée avec du miel, ou la cendre de racine d'aneth brûlée, si on

3. δριμεῖ διαβρέχων Paul.; ῥινὶ διαβρέχων F; ῥινίδι βρέχων BP; διαβρέχων A. — Ch. 22; l. 9. χρυσάνθαιμον P; χρυσάνθαμον B. — 12. ἢ σποδιά ex em.; ἢ σποδόν D; ἢ σπο... F; ἢ σπόδιον BP. Cf. II, p. 190.

σκόροδον λεῖον ϖροστιθέμενον, ἢ σμύρνα λεία ἐν οἴνῳ, ἢ λαγωοῦ ϖυτία.

κγ'. Ἱδρωτικά.

1 Τῶν δὲ ἱδρωτικῶν ἐστι χαμαίμηλον ξηρὸν λεῖον ἐπιπασσόμενον ἐλαίῳ, τῆς ἐπιφανείας εὐτόνως ἀνατριβομένης, σέσελι, ϖύρεθρον, κάχρυ, ἄνισον ὁμοίως ἐπιπασσόμενα ἐλαίῳ, νίτρον ὀπτὸν μὴ ϖάνυ λεπτὸν σὺν τῷ ἐλαίῳ, ἁλὸς ἄνθος συγκιρνάμενον ἐλαίῳ, ὀπὸς κυρηναϊκὸς ὕδατι διειμένος εἰς ἀνάτριψιν τοῦ σώματος ϖαραλαμβανόμενος καὶ ϖινόμενος ὅσον ἐρεβίνθου μέγεθος.

κδ'. Περὶ ἀέρων. Ἐκ τῶν Γαληνοῦ.

1 Ἄριστος ἀήρ ἐστιν ὁ ἀκριβῶς καθαρός· εἴη δὲ ἂν οὗτος ὁ μήτε ἐκ λιμνῶν ἢ ἑλῶν ἀναθυμιάσεως ἐπιθολούμενος, μήτε ἐκ τινος βα-

l'emploie avec du miel, ou le suc de poireau, ou l'ail trituré et appliqué [à l'endroit désigné], ou la myrrhe triturée dans du vin, ou la présure de lièvre.

23. DES SUDORIFIQUES.

1 À la classe des sudorifiques appartiennent la camomille desséchée, triturée, saupoudrée sur de l'huile et employée en frictions énergiques sur la peau, le séséli, la pariétaire d'Espagne, l'armarinte, l'anis, dont on saupoudrera l'huile de la même manière, la soude brute grillée, pourvu qu'elle ne soit pas trop fine et qu'on l'emploie avec de l'huile, les *fleurs de sel* mêlées à de l'huile, le silphium délayé dans de l'eau, soit qu'on l'emploie pour frotter le corps, ou qu'on en prenne à l'intérieur gros comme un pois chiche.

24. DE L'AIR. — TIRÉ DE GALIEN.

1 Le meilleur air est celui qui est parfaitement pur; il est pur, s'il n'est pas rendu trouble par les évaporations d'étangs ou de marais, ou de

1. σκορόδου λείου ϖροστιθεμένου Codd. — Ib. λεία καὶ ἐν Codd.

ῥάθρου δηλητήριον αὖραν ἀναπέμποντος. Οὕτω καὶ ὅς τις ἔκ τινος 2
ὀχετοῦ τῶν ἐκκαθαιρόντων μεγάλην πόλιν ἐπιθολοῦται, μοχθηρός
ἐσ7ι, καὶ μὴν καὶ ὅς τις ὁμιχλώδης ἐσ7ὶν, οὐκ ἀγαθός ἐσ7ιν, ὥσπερ
γε καὶ ὅς τις ἐν κοίλῳ χωρίῳ πανταχόθεν ὄρεσιν ὑψηλοῖς περιεχό-
μενος μηδεμίαν αὖραν δέχεται.

κε'. Περὶ πυριάσεων καὶ αἰονήσεων καὶ καταπλασμάτων καὶ σικυῶν.
Ἐκ τῶν Γαληνοῦ.

Ἀραιοῦν εἰώθασιν αἱ πυρίαι τὸ δέρμα καὶ εὐδιάπνευσ7ον ἐργά- 1
ζεσθαι, καὶ τὸ κατὰ τὴν φλεγμονὴν αἷμα λεπ7ύνειν τε καὶ διαφο-
ρεῖν, καὶ εἰ περιουσία πολλή τις εἴη κατὰ ὅλον τὸ σῶμα, πλέον
ἐπὶ τὸ θερμαινόμενον μέρος ἑλκυσθήσεται τοῦ διαφορουμένου, καὶ
χρὴ πρὸ τῶν πυριάσεων κενοῦν τὸ ὅλον σῶμα. Αἱ μὲν οὖν ὑγραὶ 2
πυρίαι φλεγμοναῖς ἁρμότ7ουσιν ὑπὸ χολωδεσ7έρων χυμῶν γεγο-
νυίαις, αἱ δὲ ξηραὶ ταῖς ὑπὸ λεπ7οῦ καὶ ὑδατώδους αἵματος, καὶ

quelque gouffre qui exhale un gaz pernicieux. L'air troublé par l'exis- 2
tence de quelque canal, de ceux, par exemple, qui servent à recevoir
les immondices d'une grande ville, est également mauvais; il en est de
même pour l'air chargé de brouillard, pour celui qui, enfermé dans un
bas-fond environné de tous côtés de montagnes élevées, n'est jamais
agité par les vents.

25. DES FOMENTATIONS, DES AFFUSIONS, DES CATAPLASMES ET DES VENTOUSES. — TIRÉ DE GALIEN.

Les fomentations raréfient ordinairement la peau, favorisent la pers- 1
piration, atténuent et dissipent le sang contenu dans les parties enflam-
mées; s'il existe quelque surabondance d'humeurs considérable dans
l'économie, la quantité du sang que la chaleur [artificielle] attire vers
la partie sera plus grande que la portion dissipée de ce liquide; il faut,
avant de recourir aux fomentations, faire une déplétion générale. Les 2
fomentations humides conviennent contre les inflammations produites
par des humeurs bilieuses, et les fomentations sèches contre celles que
produit le sang ténu et aqueux; les fomentations qui ne sont pas irri-

Ch. 25; l. 12. ταῖς τε ὑπό BFP.

αἱ μὲν ἄδηκτοι ϖυρίαι τοῖς δακνώδεσιν ἁρμόττουσι χυμοῖς, αἱ δὲ
3 δακνώδεις, ἐπειδὴ λεπτύνουσι, τοῖς ϖαχέσι καὶ γλίσχροις. Καὶ
θερμαίνειν δὲ ὑποχόνδρια αἰονήσεσιν ἢ καταπλάσμασιν οὐ διὰ
ϖαντὸς ἀσφαλὲς, ἀλλὰ ἐπὶ ἐκείνων μόνων τῶν ἀῤῥώστων ἐπὶ ὧν
οὐδέν ἐστι ϖεριττὸν ἐν ὅλῳ τῷ σώματι· τοῖς δὲ ἄλλοις ἅπασι κα-
4 κὸν ἔσχατον. Καὶ ἐν ἀρχῇ δὲ Φερομένων ἔτι τῶν ῥευμάτων ἐπὶ τὸ
ϖεπονθὸς, ἀποκρούεσθαι βέλτιόν ἐστιν· εἰ δὲ ἥ τε Φορὰ ϖαύσαιτο
διὰ τῶν ἀποκρουστικῶν, ἥ τε γενομένη ϖύκνωσις τοῖς ϖεπονθόσι
κατέχοι τὰ ϖαχύτερα, καιρὸς ἤδη χαλᾶν ὑπὲρ τοῦ κενῶσαι τὰ ϖε-
ριεχόμενα· μάλιστα δὲ ὅταν εἰς ἧπαρ ἢ γαστέρα κατασκήπτῃ τὰ
5 ϖεριττὰ, τοῖς στύφουσι κεχρῆσθαι· κύρια γὰρ τὰ μόρια. Καὶ ἐπει-
δὰν δὲ καιρὸς ἤδη διαφορεῖν τὰ στηριχθέντα, καὶ τότε δεῖται στύφε-
σθαι τὰ μόρια ταῦτα, ὥστε ἀφεψήσαντα ἀψίνθιον ἐλαίῳ αἰονᾷν δεῖ,
6 ἢ μηλίνῳ, ἢ σχινίνῳ, ἢ μαστιχίνῳ. Ὡσαύτως δὲ καὶ τὰ καταπλά-

tantes contre les humeurs qui causent des picotements, et les fomenta-
tions irritantes contre les humeurs épaisses et visqueuses, parce qu'elles
3 atténuent. Il n'est pas toujours sans danger d'échauffer les hypocondres
par des affusions ou des cataplasmes; l'immunité n'existe que pour les
malades qui n'ont rien de superflu dans l'ensemble du corps; pour tous
4 les autres, c'est ce qu'il y a de plus pernicieux. Au commencement, lors-
que les fluxions se portent encore vers la partie affectée, il vaut mieux
répercuter; mais, si le mouvement de fluxion a cessé par l'effet des ré-
percussifs, et que la condensation ainsi produite retienne dans ces parties
la portion la plus épaisse des humeurs, le temps opportun pour relâ-
cher, dans le but d'évacuer ce qui est contenu dans les parties affectées,
est arrivé; c'est surtout lorsque les superfluités tombent sur le foie ou
sur l'estomac qu'il faut employer les astringents, car ce sont des parties
5 importantes. Si l'on est arrivé déjà à l'époque de la maladie où il faut
dissiper les matières enclavées, ces parties ont encore besoin d'être res-
serrées : on pratiquera donc sur elles une affusion faite avec de l'huile
simple dans laquelle on a fait bouillir de l'absinthe, ou avec de l'huile
6 aux coings, ou de l'huile soit de lentisque, soit de mastic. Ces cata-

9. τά ante ϖαχ. om. BFP. — Ib. ϖαχύτ.] ϖεριττά A. — 11. χρηστέον A.

σματα σύνθετον ἐχέτω τὴν δύναμιν ἔκ τε τῆς χαλαστικῆς λεπτομε-
ροῦς καὶ ϖικρᾶς καὶ στυφούσης. Κόλου δὲ ϖάσχοντος, ἢ τῶν ἄλλων 7
ἐντέρων, ἢ τῶν κατὰ ὑποχόνδρια μυῶν, ἢ ϖεριτοναίου, μικτέον οὐ-
δαμῶς ἐστι τὰ στύφοντα, καθάπερ οὐδὲ κύστεως ἢ μήτρας, ὅταν,
ὡς εἴρηται, μήτε ἐπιῤῥέῃ μηδὲν ἔτι, μήτε ϖλῆθος ᾖ ϖεριττὸν ἐν ὅλῳ
τῷ σώματι. Καὶ σικύαις δὲ ϖροκενωθέντος τοῦ ὅλου σώματος χρη- 8
σόμεθα, οὐκ ἐν ἀρχῇ τῶν ϖαθῶν.

κϛʹ. Περὶ καταπλασμάτων. Ἐκ τῶν Λύκου.

Διαχέαι τὰ συνεστῶτα καὶ ἐκτῆξαι ἱκανώτατον τὸ ἐπίπλασμα 1
τοῦτο, καὶ σκόλοπας ἐξάγει καὶ σκίῤῥους ὠφελεῖ καὶ θλάσματα τὰ
ἐν ϖέλμασιν· δεῖ δὲ ζύμην συμμαλάττειν αὐτάρκει ἐλαίῳ καὶ χρῆ-
σθαι αὐτῷ· σφοδρότερον δὲ βουλόμενος ϖοιεῖν αὐτὸ νίτρον ϖροσ-
μίξεις σύμμετρον. Εἰ δὲ καὶ ὄξει διαλύσας τὴν ζύμην καὶ ἑψήσας 2

plasmes doivent être également doués de vertus multiples : relâcher,
être pénétrants, amers et astringents. Si le colon ou les autres intes- 7
tins, ou les muscles des hypocondres, ou le péritoine, sont le siége de
la maladie, ou bien si c'est la vessie ou la matrice, il ne faut ajouter
aucune substance astringente [aux fomentations et aux cataplasmes],
dès l'instant où, comme nous venons de le dire, il n'y a plus ni afflux,
ni abondance de résidus dans l'ensemble du corps. Nous n'aurons non 8
plus recours aux ventouses qu'après avoir pratiqué une déplétion géné-
rale, et non au commencement des maladies.

26. DES CATAPLASMES. — TIRÉ DE LYCUS.

Le cataplasme [de ferment] est très-propre à dissiper et à liquéfier 1
les matières solidifiées; il chasse les esquilles, et il est bon contre les
squirres et les contusions de la plante des pieds; on doit pétrir le fer-
ment avec une quantité suffisante d'huile, et puis l'appliquer; lorsqu'on
veut le rendre plus efficace, on y ajoute une quantité modérée de soude
brute. Lorsqu'on délaye le ferment dans du vinaigre et qu'on l'épaissit 2

2. ϖικρᾶς ἢ στ. F. — Ch. 26; l. 11. νίτρου AF.

1-3. [Εἰ δὲ... ἐμβάλλειν] Paul.; om. Codd. — 3. ἐμβάλλεται ABP. — 5. ἐὰν μέν] εἰ γενήσαιτο BP. — Ib. ἔμπλασῖος BP. — Ib. ᾖ] ἀποβραχέν BP. — 6. [ἐὰν ..... ὄξει] Paul.; om. Codd. — 8. ἀναζέσωσιν A.

ἐμβάλλειν. Σαγαπηνὸν κόπῖεται δὲ ἐν ὅλμῳ καὶ ἀπαλὸν γενόμενον 35
συμμαλάσσεται τῇ ἐμπλάσῖρῳ μετὰ τὸ χωρισθῆναι τοῦ πυρός. Ἀλόη 36
ἐμπάσσεται μετὰ τὴν ἕψησιν. Ὀπὸς μήκωνος ἐμβρέχεται πρὸ μιᾶς 37
ἡμέρας ἐν ὕδατι ὀλίγῳ, εἶτα λεαίνεται ἐν θυίᾳ, κἄπειτα οὕτως αὐ-
τοῦ καταχεῖται ἡ ἔμπλασῖρος. Θαψία ἐμπάσσεται τελευταία [ἢ 38
λειοῦται ὑγρῷ τινι.] Βδέλλιον λειοτριβηθὲν ἐμπάσσεται μετὰ τὸ 39
ἀρθῆναι τὴν ἔμπλασῖρον ἐκ τοῦ πυρός· εἰ δὲ λιπαρὸν τυγχάνον μὴ
δύναιτο λειωθῆναι, παραπλησίως τῷ σαγαπηνῷ κόψαντες αὐτὸ καὶ
ποιήσαντες ἐμπλασῖῶδες οὕτω συμμαλάξομεν τῇ ἐμπλάσῖρῳ μετὰ
τὴν ἕψησιν. Λιβανωτὸς καὶ μάννα ἐπὶ τέλει τῆς ἑψήσεως ἐμπάσσε- 40
ται. Σμύρνα λειωθεῖσα ἢ σὺν ὀλίγῳ μέλιτι, ἢ σὺν ὄξει ἢ ὕδατι [ἢ 41
οἴνῳ], ἐὰν ὑγρὸν ἐπιδέχηται ἡ ἔμπλασῖρος, οὕτως ἐμβάλλεται συν-
τετελεσμένης τῆς ἑψήσεως. Σπερμάτων δὲ καὶ ῥιζῶν καὶ βοτανῶν 42

l'avoir pétri. On pile le sagapénum dans un mortier, et, quand il est de- 35
venu mou, on le pétrit avec l'emplâtre, après que celui-ci a été enlevé du
feu. On ajoute l'aloès en en saupoudrant l'emplâtre après la cuisson. 36
On fait macérer le suc de pavot un jour d'avance dans un peu d'eau; 37
ensuite on le triture dans un mortier, et, après cela, on verse dessus l'em-
plâtre. La thapsie est ajoutée en dernier lieu, et cela, en saupoudrant, 38
ou bien on triture cette substance avec quelque liquide. On met le 39
bdellium, après l'avoir porphyrisé, en en saupoudrant l'emplâtre, quand
on a enlevé le poêlon du feu; mais, quand ce médicament ne peut pas
être porphyrisé parce qu'il est gras, on le pile comme le sagapénum,
et, quand il a acquis ainsi une consistance emplastique, on le pétrit avec
l'emplâtre, quand la cuisson est achevée. L'encens et la poussière d'en- 40
cens sont ajoutés, en saupoudrant, vers la fin de la cuisson. On ajoute 41
la myrrhe quand la cuisson est achevée, après avoir trituré ce médica-
ment avec un peu de miel, ou avec du vinaigre, de l'eau ou du vin,
si, toutefois, la nature de l'emplâtre permet qu'on y ajoute un liquide.
Il n'y a pas une seule herbe, graine ou racine, qui supporte la cuisson; 42

1. δέ om. A. — 3. μετὰ τὴν..... ἐμβρέχεται om. F. — 5. ἐμβάλλεται BP; it. l. 6. — 5-6. [ἢ..... τινι] Paul.; om. Codd. — 7. ὑπάρχον BP. — 9. ἐμπλασῖρῶδες BP. — 11-12. [ἢ οἴνῳ] Paul.; om. Codd.

οὐδὲ ἓν ἕψησιν ὑπομένει· λεανθέντων οὖν καὶ μενόντων ἐν θυίᾳ καταχυτέον τὰ τηκτά.

on triture donc ces ingrédients, et on les laisse dans le mortier pour verser l'emplâtre dessus.

1. *οὐδὲ ἕν* Paul.; *οὐδέν* Codd.

ΒΙΒΛΊΟΝ Γʹ.

Περιέχει συνθέσεις Φαρμάκων τῶν ἐν χρήσει ἡμῖν.

αʹ. Πυοποιά. — Τὸ βασιλικὸν ἢ τετραΦάρμακον. — Κηροῦ, 1
σʼlέατος ταυρείου, Φρυκτῆς, ϖίσσης ἴσα. Ἐὰν θέλῃς αὐτὸ τάχιον 2
συμπέψαι καὶ σαρκῶσαι, συμπλέκεις λιβάνου μέρος ἓν ϖρὸς μέρη
τοῦ βασιλικοῦ δέκα καὶ δύο, ϖοτὲ δὲ καὶ ιγʹ.

βʹ. Πυοποιὸς ἐννεαΦάρμακος ἄκρως ϖοιοῦσα καὶ εἰς τὰς κενὰς
συντρήσεις τὰς ϖερὶ θώρακα καὶ σύριγγας μετὰ τὸ ἐκτυλωθῆναι·
ϖοιεῖ δὲ καὶ ϖρὸς τὰς ἐν μήτρᾳ σκληρίας, καὶ τὰ ἕλκη τὰ ἐν αὐτῇ
θεραπεύει ἀνειμένη. — Κηροῦ, μυελοῦ ἐλαΦείου, σʼlέατος χηνείου, 1
ταυρείου, βουτύρου, τερμινθίνης, μέλιτος, ῥοδίνου ἐλαίου, κικίνου,
ϖάντα ἴσα. Τινὲς δὲ ἀντὶ τοῦ ῥοδίνου καὶ τοῦ κικίνου ἐνέβαλον σού- 2
σινον ὅ ϖέρ ἐσʼlι κρίνινον γενόμενον ὡς τὸ ῥόδινον ἀπὸ Φύλλων κρί-
νων. Ἀνακαθαίρει, ἐπουλοῖ, σαρκοῖ. 3

γʹ. Ἡ διὰ καδμείας ἐπουλωτική. — Καδμείας κεκαυμένης καὶ 1
οἴνῳ κατεσβεσμένης, χαλκίτεως ὀπʼlῆς ἀνὰ ⅹ αʹ, κηροῦ ⅹ βʹ, κολο-
Φωνίας ⅹ βʹ, ἐλαίου μυρσινίνου ⅹ αʹ, οἴνου ἰταλικοῦ τὸ αὔταρκες.
Τρίβε χαλκῖτιν, καδμείαν τῷ οἴνῳ ὥσʼlε ὑγρᾶς κηρωτῆς ἔχειν σύ- 2
σʼlασιν, τὸν δὲ κηρὸν καὶ τὴν ῥητίνην τήξας ἐν χύτρᾳ ὀστρακίνῃ
ϖαράχει τὰ μεταλλικὰ μετὰ τοῦ οἴνου, καὶ ϖάντα λειώσας ἐν θυίᾳ
χρῶ μαλάξας, ϖρὸς μὲν τὰ χρόνια ἀκράτῳ, ϖρὸς δὲ τὰ ϖρόσ-
Φατα μετὰ κηρωτῆς ῥοδίνης.

δʹ. Ἀτʼlαλικὴ λευκὴ ϖοιοῦσα ϖρὸς ἕλκη γερόντων καὶ ἀπαλο-
χρώτων καὶ τῶν ἐχόντων ὑγρὰ τὰ ἕλκη, καὶ ἀντικνήμια ἰᾶται, καὶ

Tit. ἐν χρ. ἡμ.] εὐχρήσʼlων A. — Ch. 1; l. 1. ἢ τετραΦ. om. BFP. — 2. σʼlέατος om. BFP. — Ib. ὑγρᾶς Φρυκτῆς A. — 4. ϖοτὲ..... ιγʹ om. BP; ἢ καὶ γʹ A. — Ch. 2; l. 5. ϖοι. καί] χρήσιμος A. — 7. δὲ ϖρός BFP. — 10. ϖάντων A. — 11. ἔλαιον κρίνινον F. — Ch. 3; l. 14. κατεσκευασμ. BFP. — 14-15. κηροῦ..... μυρσινίνου ⅹ αʹ om. BFP. — 15. οἴνου δὲ ἰτ. BP.

ἀποσύρματα κάλλισ7α, καὶ γονάτων ἐπὶ ὧν ὁ ϖεριόσ7εος γυμνός
1 ἐσ7ιν. — Λιθαργύρου ∠ρ', ψιμμιθίου ∠ρ', κηροῦ λευκοῦ ∠ν', τερ-
μινθίνης ∠κε', λιβανωτοῦ γο γ'· οἱ δὲ γο δ'· σ7υπ7ηρίας σχισ7ῆς
∠ς', ϖεπέρεως ∠γ', ἐλαίου ϖαλαιοῦ κοτύλας δύο, ὕδατος κοτύλας
2 δύο. Ἕψε τὰ μεταλλικὰ ἐν ἡλίῳ μέχρις ἀμολύντου, καὶ οὕτω βαλὼν
κηρὸν καὶ ῥητίνην ἑνώσας ἐπίβαλλε τὸν λιβανωτὸν μὲν ϖρῶτον,
3 δευτέραν δὲ σ7υπ7ηρίαν, καὶ τελευταῖον τὸ ϖέπερι. Τινὲς δὲ ἀντὶ
ϖεπέρεως κύπερον βάλλουσιν.

1 ε'. Γαληνοῦ Φοινικίνη. — Χοιρείου ϖαλαιοῦ καὶ ἀνάλου σ7έατος
λ β', ἐλαίου ϖαλαιοτάτου λ γ', χαλκίτεως γο. δ', λιθαργύρου λ γ'.
2 Τὴν χαλκῖτιν κόψας καὶ σήσας λεπ7οτάτῳ κοσκίνῳ βαλὼν εἰς ἴγδιν
μετὰ τῶν τριῶν λιτρῶν τοῦ ἐλαίου ἐπιμελῶς τρίβε ἕως λειοτάτη
γένηται, εἶτα ἐπέμβαλλε τὴν λιθάργυρον λεπ7οτάτῳ κοσκίνῳ καὶ
αὐτὴν σεσησμένην καὶ ϖρολελειωμένην ἐπιμελῶς εἰς ἴγδιν καὶ
συλλείου ἐπὶ ϖλείονα χρόνον τῇ χαλκίτιδι, καὶ μάλισ7α ἐν ἡλίῳ,
ὅπως τὸ ἔλαιον ὑγρὸν διαμένῃ· ἐπιβάλλεται δὲ αὐτοῖς τελευταῖον
τὸ σ7έαρ ἄγον λ β' μετὰ τὸ ἐξυμενισθῆναι, καὶ συλλειώσας ἐπι-
μελῶς βαλὼν εἰς κακκάβην ἕψει κινῶν σπάθῃ Φοινικίνῃ ἀφῃρημένῃ
τοῦ φλοιοῦ τοῦ χλωροῦ τοῦ ἔξωθεν αὐτῆς, ἵνα δυνηθῇ τῆς οἰκείας
3 ὑγρότητος μεταδιδόναι τῷ φαρμάκῳ. Ἀρκέσει δὲ εἰς τὴν ἕψησιν
τῶν Φοινίκων εἷς κλάδος ὡς τῷ μὲν ἀδροτέρῳ μέρει τοῦ ξύλου
χρῆσθαι εἰς τὴν τῆς σπάθης γένεσιν, τῷ δὲ ἑτέρῳ ὅ περ ἦν τῇ
σπάθῃ συνεχὲς, καὶ αὐτῷ ἐξεσμένῳ ὡς λευκῷ γενέσθαι χρήσασθαί
τε δυνηθῆναι εἰς τὸ ἐμβληθῆναι τῷ φαρμάκῳ εἰς λεπ7ὰ διῃρημένου
4 καὶ κατακεκομμένου αὐτοῦ. Ἐμβληθήσεται δὲ κατὰ ἐκεῖνον τὸν και-
ρὸν κατὰ ὃν ἂν ἤδη τὸ φάρμακον εἰς σύσ7ασιν ἥκῃ κηρωτῆς συμμέ-

1. ϖεριόσ7ιος BFP. — 2-3. τερεβινθ. BFP. — 3. οἱ δὲ γο α' A; om. BP. — 5. καὶ οὕτω om. BFP. — 6. ἐπίβαλε A. — 8. τοῦ ϖεπ. A. — Ib. κύπεριν A. — Ch. 5; l. 11. θυίαν BP. — 12. τῶν om. F. — 13. ἐπέμβαλε BFP. — 14. ἰγδίον BP. — 15. σύθλασσον BP. — Ib. ἐπὶ ϖλ. χρ.] καλῶς BP. — Ib. καὶ μάλισ7α om. BP. — 16. διαμείνῃ BP. — 17. μ. τὸ ἐξυμ. om. BP. — 18. ἕψε BP. — 22-23. γένεσιν..... σπάθῃ om. BP. — Ib. τῆς σπάθης F. — 23-25. καὶ..... αὐτοῦ om. BP. — 25-26. καιρὸν ὁ κλάδος κατά BP.

*τρου· ἐὰν γὰρ ἀπὸ ἀρχῆς ἐμβάλῃς αὐτὰ, καταναλίσκεται διὰ τῆς
ἑψήσεως ὁ χυλὸς αὐτῶν, ὃν βουλόμεθα διαμένειν ἐπὶ πλεῖον διὰ
τὴν σΊύψιν αὐτοῦ.* Καὶ *αὐτῆς δὲ τῆς σπάθης ἀποκόπΊειν χρὴ τὸ ἤδη* 5
*ὑπὸ τοῦ Φαρμάκου ἀνεξηραμμένον, καὶ τοῦτο μὲν ῥίπΊειν, τῷ δὲ
καταλοίπῳ μέρει χρῆσθαι, ὅπως ἀπολάβῃ τὸ Φάρμακον τῆς ὑγρό-
τητος αὐτῆς.* Τοῦτο *δὲ χρὴ ποιεῖν καὶ δὶς καὶ τρὶς εἰ ὁρῴης ἀνα-* 6
ξηραινομένην τὴν σπάθην. Φανερὸν *δέ ἐσΊιν ὡς χρὴ τὸν κλάδον τοῦ* 7
*Φοίνικος πρόσφατον εἶναι καὶ αὐτῆς τῆς ἡμέρας κεκόφθαι, ὅπως
ἔγχυλος εἴη.* Ὅταν *δὲ ἑψόμενον τὸ Φάρμακον ἀμόλυντον γένηται,* 8
*αὐτῷ μὲν ἐμπλάσΊρῳ χρήσῃ κατά τε τῶν ἐναίμων τραυμάτων καὶ
τῶν δυσεπουλώτων, καὶ ἐπὶ κόλπων, ἐλαίῳ δὲ διατήκων ἐπὶ τῶν
Φλεγμαινόντων πάντων χρῶ, ἐν ποδάγραις, ἀρθρίτισιν ἐν παντὶ
καιρῷ κατὰ ὃν οὐκ εἰσὶν ὀδύναι σφοδραὶ, ἐν βουβῶσιν, ἐν Φύμασιν,
ἐν κατακαύμασιν, ἐν χιμέθλαις, ἐν κατάγμασιν, ἐν ῥευματικαῖς δια-
θέσεσιν ἁπάσαις.* Ἐν *τῷ λύεσθαι δὲ ἡ συμμετρία τοῦ Φαρμάκου* 9
*τοιάδε ἔσΊω· βραχὺ πλεῖον ἔσΊω τὸ Φάρμακον τοῦ ἐλαίου, καὶ μᾶλ-
λον τοῦ θέρους, ὡς εἶναι δέκα μὲν οὐγγίας τοῦ Φαρμάκου, ἐννέα δὲ
τοῦ ἐλαίου.*

ϛʹ. Χλωρὰ *λιτὴ θεραπεύουσα κοῖλον ἕλκος ἀπερίσΊατον τακεῖσα
ῥοδίνῳ.* — Κηροῦ, *Φρυκτῆς ἀνὰ* ℔ *αʹ, ἰοῦ γο. βʹ, ἐλαίου κοτύλας βʹ.* 1
Ποιεῖ *πρὸς τοὺς ἀπαλόχρωτας.* — Τὸ *δίχρωμον.* Χαλκοῦ *κεκαυ-* 2-3
*μένου, σΊυπΊηρίας σχισΊῆς, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ γο αʹ,
κηροῦ, κολοφωνίας, σΊέατος χοιρείου ἀνὰ* ℔ *αʹ.* Ὄξει *τὰ ξηρὰ* 4
λείου.

ζʹ. Τὸ *πεντάθετον.* — Κηροῦ, *ταυρείου, Φρυκτῆς, πίσσης, τι-* 1
τάνου ἴσα. Ἡ *ἔκλυσις· τοῦ Φάρμακου γο δʹ, κηροῦ γο δʹ ἢ γʹ, ἐλαίου* 2
℔ *αʹ.* Ἀνάκοπ*Ίε οἴνῳ ἢ ὄξει ἢ ὕδατι πρὸς τὴν χρείαν.* 3

1. *αὐτόν* BP. — 3. *ἀνακόπΊειν* BP. — Ib. *τό* ex em.; *τῷ* ad Eun.; *τῶν* Codd. — Ib. *ἤδη* ad Eun.; *δή* F; *δι'* BP. — 4. *ἐξηρασμένων* P. — 4-6. *καὶ... αὐτῆς* om. BP. — 5. *ὅπως ἀπολάβῃ* ad Eun.; *ὅπως ἂν ἀπολάβῃ* F. — 6. *καί* ante *δίς* om. BP. — 6-7. *ἀναξηραμένην* BP. — 8. *τῆς* ad Eun.; om. Codd. — Ib. *ὅπως*] *ὡς ἄν* B. — 13. *οὐκ* Gal. Aët. Ras.; om. Codd. — 14. *χειμέθλαις* BP. — Ch. 6; l. 21. *ποιοῦσα* A. — Ch. 7; l. 26. *δʹ ἤ* om. BP.

1 η'. Τὸ διὰ ὑοσκυάμου ἤτοι ψιτΊάκιον. — Φρυκτῆς, κηροῦ, σΊέα-
τος χοιρείου, ὑοσκυάμου χυλοῦ ἴσα.

1 θ'. Τὸ μυρσινάτον. — Λιθαργύρου γο ϛ', κηροῦ ℔ α', ἐλαίου
2 μυρσινάτου ℔ β', οἴνου τὸ ἀρκοῦν. — Ἄλλο.] Λιθαργύρου γο α',
μολίϐδου κεκαυμένου γο α', συρικοῦ γο β', ἐλαίου μυρσινάτου ℔ α'.

1 ι'. Λευκὸν πρὸς τὰ κατακαύματα. — Λιθαργύρου, ψιμμιθίου,
θείου ἀπύρου ἀνὰ γο ϛ', κηροῦ γο δ', ἐλαίου μυρσινάτου τὸ ἀρ-
κοῦν.

1 ια'. Τὸ κοπΊόν. — Ἰοῦ γο α', λεπίδος χαλκοῦ γο α'. τερμιν-
2 θίνης γο β', κηροῦ γο ε'. Ὁλμοκοπητέον τὸν κηρὸν μετὰ τῆς ῥητί-
νης, καὶ ἑνώσας τὸν ἰὸν ἔμπλασσε, καὶ χρῶ πλατύσματι ἰσομε-
γέθει τῷ ἕλκει, καὶ ἐπίλυε παρὰ μίαν.

ιϐ'. Ἡ ἄφρα ἔναιμος πρὸς τὰς μεγάλας διαιρέσεις, μάλισΊα
πρὸς τὰς ἐν τῇ κεφαλῇ, πρὸς σύριγγας, κόλπους, κατάγματα· ἁρ-
μόζει καὶ ἡπατικοῖς καὶ σπληνικοῖς· ἀφλεγμάντως κολλᾷ· ποιεῖ
καὶ ἐπὶ χόνδρων διακεκομμένων καὶ ὀσΊῶν θαυμασΊῶς· ἔτι ποιεῖ
πρὸς ὑποφορὰς καὶ κόλπους· κολλᾷ γὰρ μεγάλως· καὶ ἐπὶ τῶν
ἀποσΊημάτων, ὅταν κομισάμενος τὸ ὑγρὸν ταύτην ἐπιθῇς· ἔσΊι δὲ
1 καὶ ἴσχαιμος καλὴ, καὶ μάλισΊα ἐπὶ αἷμα ἀναγόντων. Ἔμπλασσε
δὲ εἰς ὀθόνια δύο, ἓν μὲν ἐπὶ τὸ σΊῆθος καὶ τὰς πλευρὰς ἐπιτιθεὶς,
2 ἕτερον δὲ ἐπὶ τὸ μετάφρενον· παραδόξως ἐπέχει τὸ αἷμα. Ποιεῖ
καὶ πρὸς τὰ κυνόδηκτα καὶ ἀνθρωπόδηκτα, καὶ ὅλως ἀφλέγμαντός
3 ἐσΊιν, ἐνίκησε τὰς τραυματικὰς πάσας. Λύε χειμῶνος διὰ ἡμερῶν
4 τριῶν, θέρους δὲ κατὰ ἡμέραν. — Κηροῦ, πίσσης, ἀσφάλτου, πι-
τυΐνης ὑγρᾶς ἀνὰ ℔ α', μάννης γο ϛ', ψιμμιθίου γο δ', χαλκάνθου
γο δ', ὀποπάνακος γο β', ἐλαίου ἡμίμναν, οἱ δὲ ἡμίλιτρον, ὄξους

Ch. 11; l. 11. ἔμπλασον BP. — Ch. 12; l. 13. αὕτη πρός A. — Ib. διαιρέσεις Gal.; διαθέσεις Codd. — 14. πρός ante σύρ. Gal.; om. Codd. — 14-15. ἁρμ. δὲ ἡπ. A. — 15. ἀφλεγμάντως Gal. Aët.; ἀφλέγμαντος A; ἀφλέγμαντα F; ἀφλέγματα BP. — 16. διακεκαυμένων BFP. — 17. ὑποφ. Gal.; ἐπιφορὰς BFP; τὰς ἐπιφ. A. — 20. δέ] μέν BFP. — 21. τῶν μεταφρένων BP; μετάφρενον A. — 24. θέρους..... ἡμέραν e N qui habet *in extate autem cottidie*; om. Codd. gr. — 26. ἡμίμναν Gal.; ἡμῆνα ℔ α' F; ℔ α' A; ῥοδίνου ∠ϐ' BP.

κοτύλας β΄. Κηρὸν, ἄσφαλτον ἰδίᾳ, ἔλαιον, ὄξους ὀλίγον εἰς χύ- 5
τραν καινὴν βάλλων τῆκε, εἶτα ἐπίβαλλε τὴν πίσσαν καὶ τὴν ῥητίνην· ὅταν δὲ ἡμίεφθος ᾖ, ἄρας τὴν χύτραν καὶ διαψύξας ποσῶς ἔμπασσε τὸ χάλκανθον διεθὲν ὄξει ἐκ τῶν δύο κοτυλῶν κατὰ μικρὸν μὴ ὑπερζέσῃ· ἅπαν δὲ ἐκχέας ἐλαφρῶς ὑπόκαιε κινῶν. Ὅταν δὲ 6
ἀμόλυντος ᾖ, ἄρας ἀπὸ τοῦ πυρὸς ἔγχει τὸν ὀποπάνακα πρὸ μιᾶς βεβρεγμένον εἰς μέρος τὸ ὑπολειπόμενον τοῦ ὄξους ὥστε διαχυθῆναι, εἶτα ἔμπασσε τὸ ψιμμίθιον καὶ τὴν μάνναν ὁμοῦ λελειωμένα ἱκανῶς, καὶ μικρὸν χλιάνας ἕως ἑνωθῇ, φυλασσόμενος μὴ προσκαῇ ὁ ὀποπάναξ καὶ ἡ μάννα, κατάχει εἰς θυίαν καὶ ἐάσας ψυγῆναι ἀναμάλασσε.

ιγ΄. Πόλλητος γεράνειος· ποιεῖ πρὸς τὰ πεπαχυσμένα ἢ κεχαλασμένα καὶ ἐπὶ ὧν κίνδυνος πάρεσιν γενέσθαι, καὶ πρὸς τὰ ῥεύματα τὰ εἰς ἄρθρον φερόμενα, ἐπὶ ὧν καὶ οἴδησις συμβαίνει, καὶ πρὸς τὰ ὄλισθον ἔχοντα μόρια, καὶ πρὸς τὰ ἠγκυλωμένα ἢ συνδεδεμένα, καὶ εἰ ὑπὸ βίας κινηθείη ἐκτοποῦντα ὡς ἐξάκουστον γίνεσθαι ψόφον. Ὠφέλιμον δέ ἐστι καὶ ὅταν ἐν ἀγκῶσιν ἢ γόνασιν ἢ ἄλλῳ τινὶ μορίῳ ἀργὸν ὑγρὸν περιέχηται ἢ πνεῦμα· καὶ γάγγλια δὲ ἰᾶται, καὶ πᾶσαν συστροφὴν καὶ στεατώματα καὶ ἀθηρώματα, καὶ πᾶν ἀργὸν ὑγρὸν ἢ πνεῦμα συστὰν [ἂν] περιέχηται ἐν χιτῶσιν· ποιεῖ δὲ καὶ πρὸς ἀνευρύσματα, καὶ χοιράδας καὶ φύματα μαλάσσει, καὶ πάντα τὰ ἐσκληρυσμένα κατατίτρησι καὶ ἐξιποῖ καὶ ῥήσσει καὶ λεπτύνει καὶ κολλᾷ, καὶ τὰ παρειμένα τονοῖ. — Σκευάζεται 1
δὲ οὕτως· ἀνδριάντος χαλκοῦ τοῦ ξέσματος τὸ ῥυπῶδες καὶ ἰῶδες, ὅπερ τοῖς ἐξαλειφομένοις συνίσταται γο κδ΄, κηροῦ τὸ αὐτὸ, σάνδυκος τὸ ἥμισυ καὶ σανδαράκης τὸ αὐτὸ, τερεβινθίνης τὸ αὐτό· ἐὰν

3. ἄρας ἀπὸ τοῦ πυρός F 1ª m. — Ib. διαψύξας Gal.; διαξύσας Codd. — 4. τό Gal.; τήν Codd. — Ib. καὶ διεθέν AF. — 5. ἐγχέας AF. — Ib. ἱκανῶς ἐλαφρῶς A. — 7. εἰς μέρος.... ὄξους e L qui habet : *in aceto pars quæ remansit*; εἰς μέρος τοῦ ὑπολειπομένου ὄξους Codd. gr. — 8. ἔμπασον F; ἔμπλασον BP. — 9. ἐπιμελῶς A. — 10. ὁ om. AF. — Ch. 13; l. 14. ἄρθρα BP. — 16. ἐκτοποῦντα e conj.; ἐκτυποῦντα Codd. — 20. καὶ πᾶν..... χιτῶσιν om. BP. — Ib. [ἂν] ex em.; om. F. — 26. σανδαρ. ℥ α΄, τερεβ. ℥ α΄ BP.

δὲ σκληρότερον ᾖ τὸ ξέσμα, τότε τὸ αὐτὸ τῷ ξέσματι τῆς τερεβιν-
θίνης ἐμβαλεῖς· γεράνου ϖάντα τὰ ϖτερὰ κεκαυμένα τὸν τρόπον
τοῦτον· εἰς καινὴν χύτραν κεραμίαν ἐμβαλὼν τὰ ϖτερὰ ὅλα, καὶ τὸ
ϖῶμα ϖηλῷ ϖεριπλάσας μετὰ ϖάσης τῆς χύτρας, ἔμβαλε τὴν χύ-
τραν εἰς κάμινον ἕως ὁ μὲν ϖηλὸς ἐκπυρωθῇ, εὑρεθῇ δὲ τὰ ϖτερὰ,
2 ἀναπωμασθείσης τῆς χύτρας, καυθέντα καὶ ἑνωθέντα. Ταῦτα λείου
χνοώδη, εἶτα τὸν κηρὸν τήξας ἐπὶ ἀνθράκων ἅμα τῇ ῥητίνῃ ἔμπασσε
εἰς αὐτὸν τὴν σανδαράκην καὶ τὴν σάνδυκα λεῖα, καὶ ἀνακίνει ἕως
ἂν καλῶς ἀναμιχθῇ, μετὰ ταῦτα δὲ ἐμβαλὼν εἰς ὅλμον τὸ ξέσμα
κόπτε εὖ μάλα, ὡς ἀναμιχθῆναι μετὰ τοῦ κηροῦ τὰ ἀναμεμιγμένα
καταχεόμενα, εἶτα ἔμπασσε τὰ ϖτερὰ λεῖα εἰς τὸν ὅλμον, καὶ κόπτε
ἐῤῥωμένως ἄχρις ἂν καλῶς ἀναμιχθῇ καὶ ἐμπλαστῶδες γένηται τὸ
φάρμακον.
1 ιδ'. Ἡ διὰ δικτάμνου. — Δικτάμνου μέρη εἰκοσιοκτὼ, χαμαιπί-
τυος μέρη η', χαμαίδρυος μέρη ιβ', χαμαιμήλου μέρη ιδ', τριφύλλου
μέρη δ', ϖρασίου μέρη ιβ', σφάγνου μέρη ε', ϖενταφύλλου μέρη δ',
ἀρτεμισίας μέρη δ', κυπέρου μέρη ζ', ἀριστολοχίας ἁδρᾶς μέρη λε',
ἴρεως μέρη ζ', ϖολίου μέρη ιβ', κενταυρίου μέρη ιβ', γεντιανῆς
μέρη ιβ', λιβανωτοῦ μέρη ϛ', γαγάτου μέρη ζ', λιθαργύρου μέρη ρν',
ἐλαίου ϖαλαιοῦ μέρη μη', κηροῦ μέρη ιβ', ῥητίνης ϖιτυΐνης ξηρᾶς
μέρη λβ', κολοφωνίας μέρη ν', τερμινθίνης μέρη ιδ', γῆς ἀμπελίτιδος
μέρη κβ', ἢ ἀντὶ γῆς ἀμπελίτιδος ϖίττης ξηρᾶς μέρη ιβ', ἀμμωνια-
κοῦ θυμιάματος μέρη λε', λεπίδος χαλκοῦ μέρη ιη', χαλκοῦ κεκαυ-
μένου μέρη ιη', ϖροπόλεως μέρη ιβ', διφρυγοῦς μέρη η', μίλτου
μέρη ιβ', ψιμμιθίου μέρη ιβ', ἀλόης μέρη ιϛ', χαλκίτεως μέρη ι',
χαλκάνθου μέρη κδ', λιβάνου λευκοῦ μέρη ιβ', σμύρνης μέρη ζ',
2 χαλβάνης μέρη κε', ὀποπάνακος μέρη ζ'. Προαναξέσαντα τὸ ἔλαιον

2. ἐμβαλεῖς ex em.: ἐμβ....... F; ἐμβάλεις P; ἐμβάλης B. — 5-6. εὑρεθῇ...... καυθέντα] ἀναπωματίσεις τὴν χύτραν εὑρεθῇ δὲ τὰ ϖτερὰ κεκαυμένα BP. — 10. ἀναγεγραμμένα BP. — Ch. 14; l. 14. δικτάμνου ποιοῦσα ϖρὸς ϖολλὰ ϖάθη A. — 14-15. χαμαιπ. μ. η' e LN; om. Codd. gr. — 15. ιβ'] β' A. — 17. λε'] ιε' A; del. ap. F. — 20. ϖιτ. om. BP. — 21. τερεβ. BFP. — Ib. ιδ'] κδ' BP. — 23. λ. χ. μ. λη' BP. — 24. μίλτου] ἀμίλου BP. — 25. ιϛ'] λϛ' A.

ἐπὶ μαλθακοῦ πυρὸς ἐμβάλλειν δεῖ τὴν λιθάργυρον λειοτάτην κατὰ
βραχὺ κινοῦντα, ἕως τὴν χρόαν μεταβάλῃ καὶ ἐπὶ ποσὸν συστῇ,
εἶτα ἐπεμβάλλειν τὴν πίσσαν ἢ τὴν ἀμπελῖτιν γῆν, καὶ ὅταν ἀρχὴν
λάβῃ τοῦ συστρέφεσθαι, τὸν κηρὸν ἐμβάλλειν, καὶ μετὰ αὐτὸν τὴν
πιτυΐνην καὶ τὴν κολοφωνίαν, εἶτα τὸ ἀμμωνιακὸν τετριμμένον, μετὰ
δὲ ταῦτα τὴν λεπίδα τοῦ χαλκοῦ καὶ τὸν χαλκὸν, εἶτα τὴν μίλτον καὶ
τὸ διφρυγὲς, ἐφεξῆς δὲ τὴν χαλκῖτιν καὶ τὸ χάλκανθον καὶ ψιμμί-
θιον, εἶτα τὸν λιβανωτὸν καὶ τὴν σμύρναν καὶ τὴν ἀλόην, ἐπὶ πᾶσι δὲ
τὴν τερεβινθίνην καὶ τὴν χαλβάνην καὶ τὸν ὀποπάνακα. Καὶ ταῦτα 3
πάντα ἀναμιχθέντα προσηκόντως καθαίρει τοῦ πυρὸς, καὶ οὕτως
ἔμπασσε τὰς βοτάνας λείας κινῶν τῇ σπάθῃ, τελευταῖον δὲ ἐμβάλ-
λειν τὸ χαμαίμηλον. Χρῶ δὲ τῷ φαρμάκῳ πρὸς τὰ νεότρωτα καὶ 4
τὰ παλαιὰ ἕλκη, καὶ πρὸς τὰ ἰοβόλα καὶ λυσσόδηκτα καὶ σκορ-
πιόπληκτα, καὶ πρὸς κονδυλώματα καὶ γάγγλια καὶ χοιράδας καὶ
φακοὺς καὶ παρωτίδας καὶ φύματα καὶ σύριγγας καὶ τὰ χειρώνεια
καὶ τὰ κακοήθη ἕλκη, πρός τε τὰ ἐν θώρακι πάντα, καὶ τὰς περὶ
τὰ σπλάγχνα διαθέσεις καὶ σκληρίας καὶ σκίῤῥους καὶ τοὺς ὑδέρους,
καὶ τὰ ἠγκυλωμένα τῶν ἄρθρων καὶ τῶν ὀστῶν τὰ κατάγματα καὶ
τῶν ἑλκῶν τὰ δυσίατα καὶ τὰ νομώδη, καὶ πρὸς νεῦρα διακεκομ-
μένα καὶ θλάσματα καὶ σηπεδόνας καὶ ἀποσκήμματα καὶ χείμεθλα
καὶ ἄνθρακας καὶ ὅσα μαλάξεως δεῖται. Ἀνάγει καὶ ὀστᾶ καὶ σκό- 5
λοπας καὶ ἀκίδας, καὶ τοὺς κόλπους προσίστησι, καθαιρεῖ, σαρ-
κοῖ, ἐπουλοῖ, καὶ τὰς φλεγμονὰς διαλύει. Καὶ τῶν ὀφθαλμῶν τὰ 6
ῥεύματα ἐπιτιθέμενον τῷ μετώπῳ ἵστησιν, ἀνεθὲν δὲ ῥοδίνῳ πρός
τε τὰ πυοῤῥοοῦντα ὦτα καὶ τὰ ἐν αἰδοίοις καὶ ἕδρᾳ. Ὑποθυμιᾶν δὲ 7
αὐτὸ καὶ ταῖς διὰ ψῦξιν κεκακωμέναις μήτραις καὶ ταῖς δυστοκού-
σαις· ἐξαγάγοις δὲ ἂν εὐμενῶς τὸ ἔμβρυον ζῶν, οὐδὲν κακώσας,
καὶ τὰ καλούμενα δεύτερα, εἴπερ ἐπέχοιτο. Βοηθεῖ δὲ καὶ ταῖς πε- 8

2. μετὰ βάλλῃ F; μεταβάλλει BP. — 3. ἐπέμβαλλε A. — 7. δέ om. ABP. — 8. ἐ. πᾶσι] ἐπίπασσε F; ἐπίπασον BP. — Ib. δέ om. ABP. — 11-12. ἐμβαλεῖν F; ἐμβαλλεῖν BP. — 12. νευρότρωτα BP. — 13-14. σκορπιόπληκτα e N qui habet *scorpionis ictu*; σπορπιόδηκτα Codd. gr. — 17. σκλ. ἢ σκίῤῥ. BP. — 19. τῶν λοιπῶν ἑλκῶν A. — 20. ἀποστήματα BP. — 22. καθαίρει ABP. — 28. δὲ ταῖς A.

ριοδικαῖς νόσοις σπληνίον ἐπιτεθὲν τῷ μετώπῳ πρὸ τῆς λήψεως.
9 Καὶ τὰς ἐχίδνας καὶ πάντα τὰ ἰοβόλα ἐν οἴκῳ ὑποθυμιώμενον ἐξε-
λαύνει.

ιε'. Ἡ διὰ λινοσπέρμου ἐκ τῶν Πόλλητος· πρὸς τὰ ἐν θώρακι
πάθη ἁρμόττει καὶ μαλάσσει καὶ διαφορεῖ τὰς φλεγμονὰς τῶν νευ-
ρωδῶν σωμάτων καὶ πραΰνει τὰς ὀδύνας· ποιεῖ δὲ καὶ πρὸς τοὺς
παροξυσμοὺς τῶν ποδαγρῶν, καὶ τὰ ἠγκυλωμένα τῶν ἄρθρων δια-
1 λύει. — Λινοσπέρμου μέρη β', ἀλεύρου κριθίνου μέρη γ', ῥητίνης
κολοφωνίας μέρη δ', κηροῦ μέρη δ', ῥητίνης κυπαρισσίνης μέρη β',
θλάσπεως μέρος α', χαμαιμήλου τὸ ἴσον, καὶ τῆς κυπαρίσσου τῶν
σφαιρίων τῶν χλωρῶν τῶν μεμυκότων τὸ αὐτὸ, ἐλαίου παλαιοῦ
2 μέρη β'. Τήξας τὸν κηρὸν μετὰ τῆς ῥητίνης ἐπέμβαλλε τὸ ἔλαιον
καὶ ἀνακίνει τῇ σπάθῃ· μιχθέντων δὲ τούτων καλῶς ἄρας ἀπὸ τοῦ
πυρὸς ἔμπασσε τὰ σφαιρία τῆς κυπαρίσσου λεπτὰ, προσέχων ὡς
μὴ τὸ φάρμακον ἀναζέσαν καὶ ἀνοιδῆσαν ὑπερεκβάλλῃ τῆς χύτρας,
ἔπειτα τὸ ἄλευρον, εἶτα τὸ λινόσπερμον, εἶτα τὸ θλάσπι καὶ τὸ
χαμαίμηλον, καὶ μετὰ ταῦτα πάλιν εἰς τὸ πῦρ ἐπιθεὶς ἀνακίνει ἕως
ἂν καλῶς μιχθῇ· ἑνωθέντων δὲ ἐπὶ τέλει τὴν ῥητίνην τὴν κυπαρισ-
σίνην ἔμβαλλε, καὶ τακείσης ταύτης μετέρα τὸ φάρμακον κατὰ ὕδα-
τος εἰς θυίαν, εἶτα μάλασσε καὶ χρῶ.

ις'. Πόλλητος ἡ διὰ περιστερεῶνος ἤτοι διὰ τῆς ἱερᾶς βοτάνης
ποιοῦσα πρὸς κεφαλαλγίαν παλαιὰν καὶ πρόσφατον καὶ πρὸς ἡμι-
κρανίαν ἐπιτιθεμένη κατὰ τοῦ μετώπου καὶ τῶν κροτάφων· ποιεῖ
δὲ καὶ πρὸς ὀδονταλγίας καὶ ὀφθαλμῶν ῥεύματα, καὶ πρὸς δυσου-
ρίας κατὰ τοῦ ἤτρου ἐπιτιθεμένη, καὶ πρὸς σκορπιοπλήκτους καὶ

Ch. 15; l. 4. Πόλλητος πρὸς θώρακος πάθη καὶ φλεγμονὰς νεύρων. Πρός A. — 5-6. ὑδερωδῶν F. — 6. τὰς ὀδ. Aët.; om. Codd. — 8. Λινοσπ. ἀλεύρου A. — Ib. μέρη β'] μέρος α' BP. — 8-9. ἀλ... κολ. μ. δ' om. BP. — 8. ἀλεύρου om. A. — 9. μ. δ' post. κολ. Aët.; μέρη λ' A; μέρος α' F. — 12. ἐπέμβαλλε Aët.; ἐπέμβαλε BFP; ἔμβαλε A. — 13. τὴν σπάθην BFP. — 14. τὰ σφαιρία L Aët.; om. Codd. gr. — Ib. λεπτά ex em.; λεπτῆς Codd. — 15. ὑπερεκβάλῃ F 1ª m. A. — 16. τὴν θλάσπιν A. — 17. ἐπιτιθείς A. — 18. λειωθῇ BP. — 19. ἔμβαλε ABP. — Ch. 16; l. 21. περιστερῶν Codd. — 22-23. ἡμίκρανον A.

πρὸς φλεγμονὰς τῶν νευρωδῶν μορίων. — Τῆς ἱερᾶς βοτάνης ἤτοι 1
περισΊερεῶνος μέρη ϛʹ, ῥητίνης κολοφωνίας μέρη κδʹ, κηροῦ μέρη δʹ, ἐλαίου μέρη βʹ.

ιζʹ. Ἐλεφαντίνη ἤτοι διὰ δορυκνίου ποιοῦσα πρὸς ἄρθρα ἠγκυλωμένα καὶ τοὺς πώρους τῶν καταγμάτων· μαλάσσει γὰρ καὶ κωλύει τὰς ἡμαρτημένας προσφύσεις, τάς τε χοιράδας τὰς δυσμεταβλήτους καὶ τὰ σκιῤῥώματα τὰ δύσπεπΊα καὶ δυσπειθῆ· διαχυτικὸν γάρ ἐσΊι καὶ μαλακτικὸν καὶ διαφορητικὸν ἐνεργὸν πάνυ· εἰ καὶ τμῆμα ἐλέφαντος ἐνθείης τῷ φαρμάκῳ περιπλάσας ἕως ἡμερῶν δέκα, μαλθάξαις ἂν ὥσΊε κάμπΊεσθαι· πλείονι δὲ χρόνῳ μείναντα λεπΊότερον ἴδοις ἂν ὥσπερ ἱμάντα. — Τὸ δὲ φάρμακον σκευάσειας ἂν 1
οὕτως· δορυκνίου προσφάτου χλωροῦ, ἢ ξηρανθέντος ἐν σκιᾷ μέρη δέκα, μανδραγόρου τῆς ῥίζης εἴτε χλωρᾶς, εἴτε ξηρᾶς μέρη ηʹ, πάνακος ῥίζης μέρη ϛʹ, ῥητίνης κολοφωνίας μέρη κʹ, ῥητίνης ὑγρᾶς πιτυΐνης μέρη δʹ, ὀποπάνακος μέρη βʹ, τερεβινθίνης μέρη ιϐʹ, βδελλίου μέρη βʹ, κηροῦ μέρη ιϐʹ, ὄξους λευκοῦ κοτύλη ἢ καὶ πλέον ἐὰν δέχηται τὸ φάρμακον. Τὸ δὲ δορύκνιον ἂν ᾖ χλωρὸν, ὅλον ἀπὸ 2
ῥιζῶν ἀνασπασθὲν ἐμβάλλειν εἰς ὅλμον χρὴ καὶ κόπΊειν εὐτόνως παρασΊάζοντα κατὰ βραχὺ τοῦ ὄξους· τὰ αὐτὰ δὲ ποιήσεις προσεμβάλλων καὶ τὴν τοῦ μανδραγόρου ῥίζαν· τὴν δὲ ῥίζαν τοῦ πάνακος κόψας καὶ σήσας ἰδίᾳ ἔμβαλλε, καὶ ἐπὶ αὐτῷ τὸ βδέλλιον, εἶτα προκαταθραύσας αὐτὸ ἐν τῷ ὅλμῳ παρασΊάζων τοῦ ὄξους κόπΊε εὐτόνως ὡς ἐμπλασΊῶδες γενέσθαι, καὶ ἀναμίξας τὰς προπαρασκευασθείσας βοτάνας κόπΊε· τὰς δὲ ῥητίνας καὶ τὸν κηρὸν προεψήσας ἐπὶ μαλακοῦ πυρὸς ἕως ἂν ἐμπλασΊῶδες καὶ ἀμόλυντον γένηται, ἔμβαλλε τὸν ὀποπάνακα προτετριμμένον καὶ διαλελυμένον ὄξει, καὶ ταῦτα ἐπικατάχει τοῖς ἐν τῷ ὅλμῳ κοπεῖσιν· κόπΊε

2. τοῦ περισΊ. A. — Ib. ϛʹ Aët.; εʹ A; ϑʹ BFP. — Ch. 17; l. 5-6. λύει BP. — 6. χοιρ. καὶ τάς F. — 7. καὶ τὰ δύσπεπΊα καί Codd. — Ib. δυσπαθῆ F. — 11. Τὸ δὲ φάρμ. Aët.; Τὸ φάρμ. BFP. — 13. ηʹ] βʹ BP. — 16. βʹ] κʹ BP. — Ib. καί om. BP. — 23. ἐμπλασΊρῶδες BP. — 24-p. 105, l. 5. κόπΊε..... γένηται] ὕσΊερον ἐπιβαλοῦ τὸν ὀποπάνακα λελειωμένον ἐν ὄξει καὶ ποιήσας τὸ φάρμακον χρῶ BP. — 26. ἔμβαλε F.

δὲ φιλοπόνως ἄχρις ἂν ἑνωθῇ πᾶν τὸ φάρμακον· μετὰ ταῦτα δὲ ἐξελὼν καὶ ταῖς χερσὶν εὐτόνως μαλάξας εἰς ἀγγεῖον κεραμεοῦν καινὸν ἢ χαλκοῦν, ὄξει προϋγράνας, ἔνθες τὸ φάρμακον ἵνα ἀδιάπνευστον μένῃ καὶ μὴ χρονίσαν καὶ ξηρανθὲν ἀσθενέστερον γένηται.

1 ιη'. Ἡ διὰ οἰνάνθης. — Τὴν οἰνάνθην βοτάνην χρὴ λαβόμενον ἀκμαίαν ἔαρος ὥρῃ ῥιζόθεν ἐξερύσαντα χυλὸν ἐξ αὐτῆς ποιεῖσθαι καὶ ξηραίνειν ἐν ἡλίῳ, μετὰ δὲ ταῦτα λαβόμενον ῥητίνης τῆς κολοφωνίας μέρη η' ἐπὶ τοῖσι τεσσαράκοντα, πρὸς δὲ καὶ τῆς ὑγρῆς ῥητίνης τῆς πιτυΐνης μέρη η', κηροῦ μέρη η', ἐλαίου μέρη δ', καὶ τοῦ χυλοῦ τῆς βοτάνης τετριμμένου λείου καὶ διασεσησμένου μέρη ϛ'.
2 Τὰς ῥητίνας ἅμα τῷ ἐλαίῳ προεψήσας ἐπὶ πυρὸς μαλθακοῦ, ἐπὴν ᾖ ξηρότερον καὶ πέλας τοῦ θρύπτεσθαι, τότε πρόσβαλε τὸν κηρόν· τακέντος καὶ ἀναμιχθέντος [εἰ] πειρηθείης μαλθακωτέρου τοῦ φαρ-
3 μάκου, τὸν χυλὸν ἐπέμβαλε κινῶν τῇ σπάθῃ. Ἐπὴν δὲ συμμιγὲς καὶ ἀμόλυντον γένηται, κατεράσας εἰς ὕδωρ ψυχρὸν ἔστε ἂν ἀποψυχθῇ καὶ μαλθάξας εὐτόνως, χρήσαιο πρὸς τὰ ὁκόσα καθῆραι ἢ λευκῆναι, ἢ λεπτῦναι, ἢ διαφορῆσαι, ἢ πληρῶσαι ἢ ἐπουλῶσαι χρὴ, καὶ πρὸς χοιράδας καὶ φύματα κχὶ παρωτίδας καὶ τὰ νεότρωτα καὶ τὰ παλαιὰ ἕλκεα, πληγάς τε καὶ κρούσματα, καὶ τὰ ἐν τοῖς στόμασιν οἰδήματα καὶ τὰ ἐν θώρακι καὶ σπλάγχνοις, καὶ μάλιστα ἡπατι-

Ch. 18; l. 6. δ. οἰνάνθης om. F; δ. οἰνανθέμου BP; δ. οἰνάνθης ποιοῦσα πρὸς χοιράδας καὶ φύματα καὶ παρωτίδας πληγάς τε καὶ κρούσματα ποδῶν A. — Ib. οἰνάνθεμον BP. — Ib. λαβόντας A; λαμβάνειν BP. — 7. ἐν ἔαρος A. — Ib. ὥρα A; ὥραν BP. — Ib. ῥιζ. om. A; καί BP. — Ib. ἐξεῤῥεύσαντα F; ἐκριζώσας BP. — 8. μ. δ. τ.] εἶτα BP. — Ib. λαβόντα A; λαμβάνειν BP; An λαβέσθαι? — Ib. τῆς om. BP. — 9. β' καὶ μ' A; μβ' BP. — 9-10. πρὸς... ῥητίνης τῆς om. BP. — 10. ἐλαίου χ α' A. — Ib. καί] εἶτα BP. — 11-p. 106, l. 28. τετριμμένου... δέ] λελυμένου ἑνώσας ὀλίγον, κατὰ ὀλίγον ἐξάρας τοῦ πυρὸς τίθει εἰς θυίαν κρούων καλῶς εἰς ἕνωσιν καὶ χρῶ BP. — 12. ἐπ' ἄν A; it. l. 15. — 13 ξηρόν A. — Ib. πέλας om. A. — Ib. πρόσβαλε ex em.; προσβάλε A; προσλαβών F. — 14. καὶ τακέντος τούτου καί A. — Ib. [εἰ] e conj.; om. AF. — Ib. πειραθ. A. — Ib. μαλακ. A. — 15. τῇ σπάθῃ ex em.; τὴν σπάθην F. — 16. κατερ. ex em.; κατακεράσας F; βαλών A. — Ib. ἀποψυχθῇ ex em.; ἀποψυχθέν F. — 17. μαλθάξας ex em.; μαλθάξαις F; καὶ μαλάξας A. — Ib. χρῶ A. — Ib. ὁπόσα A. — 20. ἕλκη A. — 21-p. 106, l. 1. καὶ τὰ ἐν θ.... στομαχ. καί om. F.

κοῖς ἢ σ7ομαχικοῖς καὶ σπληνικοῖς. Ἄρισ7ον καὶ Φλεγμασίης πάσης 4
διακωλυτικὸν, εἰ καὶ μύες Φλεγμαίνοιεν. Πρὸς δὲ καὶ λειοποιητικὸν, 5
καὶ τοῖς ποδαγρικοῖς παροξυσμοῖς, καὶ ῥευμάτων ἀναξηραντικὸν, καὶ τοῖς ἰκτέρῳ κάμνουσιν ἐπιτιθέμενον ἐπὶ τὸ σ7έρνον ὀνήϊσ7ον· ἄγει γὰρ αὐτοῖς ἱδρῶτας τὴν χροιὰν χολοειδέας.

ιθ'. Ἡ διὰ ἀνεμώνης Ἀφροδίτη. — Τῶν ἀνθέων τῆς ἀνεμώνης 1
κεκαθαρμένων ξηρῶν λαϐὼν γο η' βάλλε ὄξους δριμυτάτου λευκοῦ κοτύλας τρεῖς καὶ ἔασον βρέχεσθαι ἡμέραν καὶ νύκτα· μετὰ δὲ ταῦτα ἀναφυράσας αὐτὰ ταῖς χερσὶν ἔκθλιϐε κατὰ βραχὺ ἄχρις ἂν πάντα τὸν χυλὸν ἐκθλίψῃς, εἶτα ῥητίνης κολοφωνίας λαϐὼν γο μη', τῆς δὲ ὑγρᾶς πιτυΐνης γο δ', κηροῦ γο δ', καὶ τοῦ χυλοῦ τῶν ἀνθέων κοτύλας β', ἐλαίου γο δ'. Τὴν κολοφωνίαν ἅμα τῷ ἐλαίῳ ἑψήσας 2
πρᾴως πυρὶ μαλακῷ, κινῶν τῇ σπάθῃ, μέχρις ἂν πειρωμένῳ σοι σκληροτέρα Φαίνηται μᾶλλον ἤδη, μετὰ δὲ ταῦτα ἐπέμϐαλε τὴν ὑγρὰν ῥητίνην καὶ πάλιν ἕψε ἄχρις ἂν σκληροτέρα γένηται, εἶτα ἐπέμϐαλε τὸν κηρόν· ὅταν δὲ κινῶν ἑνώσῃς αὐτὰ καὶ ἄχρις ἀμολύντου κατασ7ήσῃς, καθελὼν τὴν χύτραν τοῦ πυρὸς κίνει τὸ Φάρμακον τῇ σπάθῃ, ἕως ἂν τοῦ ζέματος λήξῃ· μετὰ δὲ ταῦτα ἔγχει τὸν χυλὸν κατὰ ὀλίγον παντελῶς, ἵνα μὴ ἀνοιδήσῃ καὶ ὑπερπέσῃ τῆς χύτρας· οὕτω γὰρ μιγνύμενον ποικιλόχροον ἂν γένοιτο. Πει- 3
ρᾶσθαι δὲ τοῦ Φαρμάκου χρὴ ἀποσ7άζοντα ἐπὶ μαρμάρου ἤ τινος λείου καὶ σ7εγανοῦ, ψυγὲν δὲ δοκιμάζειν, εἰ ἀμόλυντόν τε εἴη καὶ μὴ προσιζάνον τῷ χρωτὶ μολύνοι, τὴν χρόαν πορφυρᾶ ἐπιτεταμένως. Οὕτω δὲ ἔχον προλειήνας εἰς Θυίαν κατέρα τὸ Φάρμακον· 4
ἀποψυγὲν δὲ ἀναμάλασσε ταῖς χερσὶν οὕτως ὡς μὴ ἐκπίπ7ειν τοῦ Φαρμάκου τὸν χυλὸν, ἀλλὰ κατὰ βραχὺ ἀναλαμϐάνεσθαι τὸν ἐκθλιϐόμενον ὡς παντὶ τῷ Φαρμάκῳ ἀναληΦθέντα ἑνωθῆναι, καὶ γενέσθαι εὐανθὲς καὶ εὔτονον. Χρῶ δὲ αὐτῷ πρὸς τὰ ἔναιμα καὶ Θλά- 5

1. *καί* post Ἄρ. om. F. — Ib. Φλεγμονῆς A. — 2. διαλυτικόν A. — 4. ὠφέλιμον A. — Ch. 19; l. 7. ὄξους δριμυτάτου λευκοῦ Aët.; ὄξους..... F; ὄξους BP. — 10. An λάϐε? — 13. τῇ σπάθῃ ex em.; τὴν σπάθην F; σπάθῃ δᾳδίνῃ Aët. — 14. ἤδη ex em.; ἢ δεῖ F. — Ib. ἐπέμϐαλε ex. em.; ἐπεμϐάλλειν F. — 23. χρωτί ex em.; χρώματι F. — Ib. πορφυράν F. — 24. ἔχοντα F. — 26. ἀναλαμϐάνειν F.

σματα τῆς σαρκὸς, καὶ πρὸς τὰ κακοήθη τῶν ἑλκῶν, καὶ πρὸς τὰ παλαιὰ καὶ ὀχθώδη καὶ συκώδη καὶ δυσκατούλωτα, καὶ πρὸς τὰ τῶν ἰοβόλων δήγματα, καὶ τὰ ἐπὶ τῶν ὀνύχων πτερύγια, καὶ νεῦρα πεπαχυσμένα, εἰ καὶ ἐν ἄρθροις ἢ καὶ χρόνια εἴη καὶ ἐπώδυνα, ἢ καὶ διὰ Φλεγμονὴν δυσκίνητα μετὰ ἀλγηδόνος τυγχάνοι, πρός τε σύριγγας καὶ χοιράδας, καὶ τῶν ὀσΊῶν τὰ ψιλώματα, καὶ γάγγλια καὶ δοθιῆνας καὶ σΊεατώματα καὶ νομὰς καὶ κόλπους, καὶ τῶν κοιλιακῶν τὰς ἐμπνευματώσεις, καὶ τὰ ὑπὸ ψύξεως ὀδυνώμενα καὶ τὰ πυρίκαυτα, καὶ πρὸς σπλάγχνα καὶ ὑποχόνδρια καὶ σΊόμαχον, καὶ τὰ ἐν θώρακι, τά τε ἄλλα καὶ τὰ ἀποσΊήματα, καὶ οἷς αἱμοῤῥαγία
6 γίνεται διὰ ῥινῶν πολλὴ καὶ δυσχερῶς σΊέλλεται. Τούτοις δὲ δεῖ ἐπιτιθέναι πΊυγμάτιον κατὰ τοῦ σΊομάχου, κάλλιον δὲ ποιήσεις
7 καὶ κατὰ τοῦ μετώπου. Πρὸς δὲ τὰ ῥεύματα τῶν ὀφθαλμῶν σπλη-
8 νίον κατὰ τοῦ μετώπου ἐπιτιθέμενον σΊέλλει. Ἀνιεμένη δὲ ῥοδίνῳ ἀγαθὴ πρὸς τὰ ἐν ἀρχῷ καὶ πόσθῃ ταὶ τἆλλα ἐν οἷς ἀνιεμένων Φαρμάκων χρεία.

1 κ'. Αἱμηρή. — Λίθος ἔσΊι πυκνὸς, βαρὺς, λεῖος, χροιὴν ὅλος αἱμηρὸς, μονόχροος ὃν μηδικὸν καλέουσι· καυθεὶς οὕτως ὡς Φλογερὸς γενέσθαι, εἶτα ἀποψυχθεὶς λευκὸς ἂν Φαίνοιτο, τριφθεὶς δὲ καὶ λειωθεὶς εὖ μάλα χροιὴν ἀμείβεται· οὔτε γὰρ ἔτι λευκὸς ὁ τέως ἀρχῆθεν πάμπαν αἱμηρὸς, βραχὺ δέ τι παρηλλαγμένος ἐπὶ τὸ ῥοδο-
2 χροώτερον. Τὸν λίθον τουτονὶ τρίψας καὶ διασήσας, ἔπειτα προσμίξας ᾠοῦ τῆς ἀλεκτορίδος τὸ λευκὸν, ἔμπαλίν [τε] καλῶς λειήνας
3 χρίοις τῶν παιδίων τὰ ἕλκη τὰ ἀσΊόμωτα. Καὶ μήν γε καὶ τὰ ἑρπησΊικὰ ἐπισΊήσειας ἂν καὶ ξηράνειας καὶ καθήραις, ὁμαλά τε καὶ
4 λεῖα θείης καὶ κατουλώσειας. Τεύξειας δὲ ἂν ἐξ αὐτοῦ Φάρμακον ἄρισΊον, τῆς ῥητίνης τῆς κολοφωνίας λαβόμενος μέρη δ' ἐπὶ τοῖς εἴκοσι, καὶ τῆς ἄλλης τῆς ὑγρᾶς μέρη δ', κηροῦ μέρη δ', ἐλαίου

2. συκώδη] δυσώδη BP. — Ib. δυσεπούλωτα BP. — 5. τυγχάνοι om. BP. — 15. ἀρχῷ] ὄρχει BP. — Ch. 20; l. 18-19. οὕτως... γενέσθαι] λίαν καὶ πυρωθεὶς BP. — 22. τρίψας καλῶς καὶ BP. — 23. ἔμπαλίν... λειήνας om. BP. — Ib. [τε] ex em.; om. F. — 27. τῆς ῥητίνης ex em.; εἰ τῆς ῥητίνης F; ῥητίνης BP. — 27-28. κδ' BP. — 28. δ'] ς' BP. — Ib. δ'] ε' BP.

μέρη γ', καὶ τοῦ λίθου τοῦ αἱμηροῦ μέρη ϛ'. Τὴν κολοφωνίαν ἅμα 5
τῷ ἐλαίῳ ἐπὶ ϖυρὸς μαλθακοῦ ϖρᾴως ἑψήσας, ἔπειτα ἐπενδασάμενος τὸν κηρὸν, τακέντος ἐμπάσας τὸν λίθον, μετὰ δὲ ταῦτα ἐπὰν ϖειρωμένῳ σκληρότερον μᾶλλον ἤδη [φαίνηται], ἐπενδάσασθαι τὴν ῥητίνην τὴν ὑγρὰν ἀνακινῶν τῇ σπάθῃ ἕως ἀμόλυντον καὶ εὐμιγὲς
καταστήσῃς, ὅπως ἐν χρῷ ϖροσίσχηται καρτερῶς ὡς οἷόν τε. Δύνα- 6
μιν δὲ ἔχει τὸ φάρμακον τοῦτο καθαρτικὴν, ξηραντικὴν, ἀνασπαστικὴν, διαφορητικὴν, λεπτυντικὴν, διαχυτικὴν, κολλητικὴν, λευκαντικὴν, ἐπουλωτικὴν, φλεγμασίης ϖάσης διαλυτικὴν καὶ τῶν κατισχνωμένων κάρτα θρεπτικήν· ἀγαθὸν δὲ καὶ ϖρὸς ϖλευρῆς ἄλγος, καὶ τοῖς ὑπὸ στομάχου βαρυνομένοις διὰ ἀτονίην αὐτοῦ νυκτὸς ὅλης ἱδρώσσουσιν· ἀναλγέα τε γὰρ καὶ ἧσσον ἱδρωτικὰ θείη καὶ τοῦ βάρεος ἐπελαφρίσαι, καὶ τὰ ϖερὶ τὸ ἦτρον καὶ τὸν
κτένα ἐπικεχαλασμένα ἢ ἐξῳδηκότα ἰήσαιτο. Τὰς δὲ ἀκροχορδόνας 7
ϖλατύνει καὶ διαχεῖ καὶ διαφορεῖ καὶ ϖληγὰς καὶ κρούσματα ἀναλ-
γέα τίθησι, καὶ τὰ φύματα ἐκπυΐσκει τε καὶ ῥήσσει. Ἀγαθὸν δὲ 8
καὶ νεοτρώτοις καὶ ϖαλαιοῖς ἕλκεσι, καὶ χοιράσι, καὶ τοῖς ὑπὸ ψύξεως ἢ ἐπιῤῥοῆς κεκακωμένοις ἀνεθὲν ῥοδίνῳ, ϖρός τε ὦτα ϖυοῤῥοοῦντα καὶ τὰ ἐν αἰδοίοις καὶ ἕδρῃ ἕλκεα κράτιστον.

κα'. Ἡ διὰ ἰτεῶν ἣν ὁ Μέγης εὗρεν ἀδήκτως ξηραίνουσα καὶ ἐνερ-
γοῦσα ϖρὸς ἅπαντα τὰ ῥεύματα. — Ἰτέας φύλλα λαβὼν χλωρὰ τεθη- 1
λότα, κόψας ἐν ὅλμῳ, καὶ μετὰ ταῦτα ἐμβαλὼν εἰς χύτραν ὀστρακίνην καινὴν ἐπέμβαλλε οἴνου ϖαλαιοῦ λευκοῦ τοσοῦτον ὅσον αὔταρκες βρέξαι καὶ καταχεῖν τὰ κεκομμένα, ἑψήσας δὲ ἐπὶ ϖυρὸς μαλθακοῦ ἐπὶ ϖλείονα χρόνον, μετὰ δὲ ταῦτα ϖάλιν ἐμβαλὼν εἰς τὸν ὅλμον καὶ συγκόψας ϖάνυ, ὀθόνην ὑποτείνας ϖυκνὴν, ἐνιεὶς εἰς αὐτὴν τὰ

1-7. Τὴν... ἔχει om. BP. — 2-3. ἐπενδεσάμενος F. Conf. l. 4. — 3. ἐπάν e conj.; ἐφθᾶν F. — 4. ϖειρωμένῳ ex em.; ϖειρῶ μὲν ὡς F. — Ib. ἤδη e conj.; ἢ δεῖ F. — Ib. [φαίνηται] e conj.; om. F. — 5. ἕως e corr.; ὡς F. — 6. ϖροσίσχηται e corr.; ϖροΐσχεσθαι F. — 10. ϖλευρῶν BP. — 11. ἀλγεῖν F. — 12-16. νυκτὸς... ῥήσσει om. BP. — 12. ἱδρώσσουσιν e conj.; ἱδρώσουσιν F. — Ch. 21; l. 20. ἰτέας A. — Ib. Μέγας Codd. — 23. ἐπέμβαλε AF; εἶτα ἐμβαλών BP. — 23-24. λευκοῦ.....κεκομμένα] τὸ ἀρκοῦν εἰς βρέξιν BP. — 24. κατασχεῖν AF.

2 κεκομμένα, καὶ ἀποθλίψας διαπηδῶντα τὸν χυλόν. Μετὰ δὲ ταῦτα
λαβὼν τῆς ῥητίνης τῆς κολοφωνίας γο κδ', κηροῦ γο δ', ἐλαίου γο β',
καὶ τοῦ τῆς ἰτέας χυλοῦ κο. α' κατασκευασθέντος οὕτω, τὴν ῥητί-
νην μετὰ τοῦ ἐλαίου ἑψήσας πυρὶ μαλακῷ, ἄχρις ἂν πειρωμένῳ
καὶ ἀνατρίβοντι σΊερεὰ φανῇ καὶ ἐγγὺς τοῦ θρύπΊεσθαι, μετὰ ταῦτα
3 ἐπεμβαλεῖς τὸν κηρόν. Ἐπειδὰν δὲ καλῶς ἔχειν φανῇ, λαβὼν ἀπὸ
τοῦ πυρὸς τὴν χύτραν, ἐπεμβαλεῖς εἰς αὐτὴν τῆς ἰτέας τὸν χυλὸν
4 κατὰ ὀλίγον πάνυ. Ἔπειτα ἐπιθέντα εἰς τὸ πῦρ ἕψειν χρὴ πράως,
5 ὅπως μὴ ἐκφλογωθεῖσα καυθῇ. Μιχθέντος δὲ τοῦ φαρμάκου τὸν
τρόπον τοῦτον, εἰς ἀγγεῖον λίθινον λεῖον ἢ χαλκοῦν χρίσας ἐπί-
σΊαξον μέρος τοῦ χυλοῦ, ἔπειτα εἰς αὐτὸ καταχέας τὸ φάρμακον,
ἀποξύσας καὶ ἀναμαλάξας χρῶ.

1 κβ'. Τὸ διὰ κηρύκων διαφοροῦν ἀδήκτως. — Λιθαργύρου ∠ις',
κηρύκων τέφρας ∠ιζ', ἐλαίου παλαιοῦ κο. α', ψιμμιθίου ∠κ', ῥητί-
νης τερεβινθίνης ∠ιγ', λιβάνου ∠η', ὕδατος κοτύλαι δ'.

1 κγ'. Πρὸς ἀλωπεκίας. — Εὐφορβίου, θαψίας ἀνὰ ∠β', θείου
2 ἀπύρου ∠δ', ἐλλεβόρου λευκοῦ ἢ μέλανος ∠α'. Τούτοις μίγνυε
3 κηροῦ ∠ς' ἢ ε'. Δαφνίνῳ ἐλαίῳ τήξας ἢ παλαιῷ χρῶ τούτῳ ὡς
ἰσχυροτάτῳ φαρμάκῳ ἐπὶ τῶν κεχρονισμένων καὶ δυσθεραπεύτων.
4 Θαψίας δὲ μὴ παρούσης τοσοῦτον σΊαθμὸν μίξεις ἤτοι καρδάμου
5 σπέρματος ἢ εὐζώμου. Κἂν δάφνινον δὲ μὴ ᾖ, ὑγρὰν πίσσαν ἔμ-
βαλλε.

1 κδ'. Ἀδαμαντίου πρὸς ἀλωπεκίας. — Σκορόδων τέφραν μετὰ μέ-
2 λιτος ἔγχριε. — Ἡ διὰ ἰτεῶν ἔναιμος.] Τὴν δὲ διὰ τῶν ἰτεῶν ἔνδοξόν
τε καὶ πολύχρησΊον οὖσαν καὶ αὐτὴν ὁμοίως ταῖς προειρημέναις
ὁ Κρίτων οὕτω γράφει· ἡ διὰ ἰτεῶν ἁρμόζουσα πρὸς τὰ ἔναιμα
καὶ ἄρθρα λελυμένα καὶ πρὸς σύριγγας ἐντιθεμένη, καὶ πρὸς

2. βαλών A. — 6. ἐπεμβάλλειν BFP. — 7. ἐπεμβάλλειν F; ἐπεμβάλειν BP. — 8. δεῖ A. — 9. ἐκφλογωθείη καυθείς A. — Ib. δέ] οὖν BP. — Ch. 22; l. 15. κοτ. e L; κύαθοι Codd. gr. — Ch. 23; l. 18. τήξας ἢ παλαιῷ Gal.; τήξας παλαιῷ Codd. — 20. καρδάμου Gal.; καρδαμώμου Codd. — 21. Καὶ εἰ μὴ ᾖ δάφνινον, κἂν ὑγράν BP. — Ch. 24; l. 24. Ἡ..... ἔναιμος ante Σκορόδων (l. 23) Codd. — Ib. δέ om. BP. — Ib. τῶν om. BP. — 26. διὰ τῶν A.

πλαδαρὰς σάρκας, καὶ μάλιστα τὰς ἐπὶ τοῖς ἀκρωτηρίοις. Ποιεῖ 3
καὶ πρὸς ἐρυσιπέλατα, καὶ πρὸς ἄλλας πλείστας διαθέσεις δίχα
κατακαυμάτων. Μίσυος, χαλκίτεως, ἰοῦ, ψιμμιθίου, κηκίδων ἀτρή- 4
των, στυπτηρίας σχιστῆς καὶ στρογγύλης, μελαντηρίας ἀνὰ γο ϛ', ῥητίνης πιτυΐνης, κηροῦ, πίσσης, ἀσφάλτου, ἰτέας φύλλων ἀνὰ λ̸ α', ἐλαίου κο. β' καὶ γο δ', χαλκάνθου γο ϛ', σιδίων γο ϛ', ὄξους ξ̸ ϛ'.
Μετὰ τοῦ ὄξους τὰς ἰτέας προαποβρέξας ἡμέρας τρεῖς ἕψε ἕως λει- 5
φθῶσι ξέσται β', εἶτα προλελειωμένῳ ἰῷ καὶ ψιμμιθίῳ καὶ μελαντηρίᾳ ἐπίβαλλε τὰ φύλλα λελειωμένα ἐπιμελῶς καὶ συλλειοτρίβει, εἶτα τὰ ξηρὰ λεῖα ἕνωσον, εἶτα τὰ τηκτὰ ἐπικατάχει καὶ ἑνώσας χρῶ.

κε'. Πρὸς ἡλκωμένους καρκίνους πρᾳότατον. — Λιθαργύρου, κη- 1
ροῦ, στέατος χοιρείου ἀνὰ λ̸ α', λεκίθους ᾠῶν ὀπτῶν δέκα, ἐλαίου κο.
η'. Τὴν λιθάργυρον τρίβε μετὰ ὕδατος συμμέτρου παραχέων τι καὶ 2
τοῦ ἐλαίου, εἶτα τὰς λεκίθους συλλέαινε, τὸ δὲ στέαρ ἐξινίσας τῆκε σὺν τῷ κηρῷ καὶ τῇ λειουμένῃ λιθαργύρῳ προσεπιβάλλων καὶ τὸ λοι-
πὸν τοῦ ἐλαίου. Ἡ χρῆσις τοῦ μὲν ἀνεθέντος σὺν ῥοδίνῳ διὰ μότου 3
ἐρεοῦ ἢ λινοῦ, ὡς ἂν ἁρμόττειν δοκῇ. Ἀνωδύνου δὲ ὄντος τοῦ ἕλκους, 4
παραπλεκέσθω σμύρνης, ἴρεως, ἀριστολοχίας ἀνὰ ∠γ' ὃ καὶ τοῖς
ἀνελκώτοις ἁρμόττει. — Ἀδαμαντίου πρὸς φαγεδαινικὰ ἕλκη.] Χλω- 5
ρὰν ἀλθαίαν ἢ ξηρὰν ἀναλαβὼν στέατι τραγείῳ χρῶ. Εἰ δὲ πάνυ 6
ὑγρὰ εἴη τὰ ἕλκη προϋποθεὶς μότα ξηρὰ ἐπιτίθει τὸ στέαρ μετὰ
τῆς ἀλθαίας. Κέχρησο δὲ καὶ ταῖς ἀγωγαῖς τοῦ τριακοστοῦ πέμ- 7
πτου κεφαλαίου.

κϛ'. Πρὸς καρκίνους πάνυ πολλὴν καὶ νομώδη διάβρωσιν ἔχον-

1. τάς] ταῖς A. — 2. ἄλλα πολλὰ πάθη A marg. — 3. καταγμάτων A. — 5. τῶν φ. A. — 8. προλελειωμένῳ ex em.; προλελειωμένων AF; προλελειωμένα BP. Conf. Gal. Aët. — 8-9. μελ. καὶ τὰ ἄλλα ἐπίβαλλε BP. — Ch. 25; l. 12-20. Πρός... ἁρμόττει] BFP hæc repetunt post cap. 39 (p. 117, l. 19). — 15. ἐξυμενίσας B^{a}F^{a}P^a. — 16. προσεπιβαλών B^{a}F^{a}P^a; ἐπιβάλλων A; συνεπιβαλών BFP. — 18. ἐρεοῦ] ἢ σχίνῳ BP. — Ib. λινοῦ] ἰρίνῳ BP; πεσσοῦ τοῦ δι' ἐρίου B^{a}F^{a}P^a. — Ib. ἢ BP. — 19. πρὸς φαγεδαίνας. Πρὸς φαγεδαινικά A. — 21. αἰγείῳ A. — 23. δὲ ἐπὶ ταῖς F; δὲ καὶ ἐπὶ ταῖς B P. — Ch. 26. Hoc caput ante cap. 40 (p. 117, l. 19) repetunt BFP.

τας. Οἷς δὲ καρκίνοις πολλὴ καὶ νομώδης ἐστὶν ἡ διάβρωσις θαυ-
1 μαστὸν ὡς δραστηρίως βοηθεῖ τόδε. — Οἴνου ἀδριανοῦ καλοῦ ℥ κʹ,
ῥοὸς βυρσοδεψικῆς ℔ αʹ, κυπαρίσσου σφαιρίων ℔ αʹ, κηκῖδος ὀμφακί-
2 τιδος ἀτρήτου γο ϛʹ, κασίας σπουδαίας γο ϛʹ. Θλασθέντα βρέχεται
3 ἐπὶ ἡμέρας δʹ, καὶ ἕψεται μέχρι ζέσῃ τρίτον ἢ τέταρτον. Κινεῖν δὲ
χρὴ σπάθῃ κυπαρισσίνῃ, εἶτα ταῦτα μὲν ἐκθλιφθέντα ἀναιρεῖται,
εἶτα ἕψεται ἕως μέλιτος σύστασιν λάβῃ, καὶ τότε ἐν ὑελῷ ἀγγείῳ
4 ἀποτίθεται. Ἡ χρῆσις ἀκράτου μὲν ἐπὶ τῶν νεμομένων· εἰ δὲ
παχύτερον εἴη ποτὲ, ἀνυγραίνειν αὐτὸ οἴνῳ χρὴ, μάλιστα ἐπὶ
5 γυναικῶν καὶ γυναικείου κόλπου. Ἔστι δὲ καὶ τῶν ὀδυνῶν παρη-
γορητικὸν γάλακτι ἀνιέμενον τοῦτο, καὶ τὰς ἄλλας νομὰς ἰᾶται
θαυμαστῶς.

1 κζʹ. Πρὸς ἐντέρων ὀλισθήσεις. — Κυπαρίσσου σφαιρίων τῶν μι-
κρῶν καὶ ἁπαλῶν, σιδίων ῥοιᾶς ἀνὰ γο γʹ, μέλανος οἴνου ὅσον
2 ἐξαρκεῖ. Ἕψε ἐπιβαλὼν τὸν οἶνον μέχρι παντελοῦς διαλύσεως, εἶτα
μετεράσας εἰς θυίαν καὶ τρίψας ἐπιμελῶς ἀναλάμβανε στέατι ὑείῳ
παλαιῷ ὥστε ἐμπλάστρου ἔχειν πάχος, ἔπειτα ἐμπλάσας εἰς ὀθό-
νιον ἐπιτίθει, προαναθλίψας τὸ ἔντερον· ἔξωθεν δὲ τοῦ φαρμάκου
3 μαλακὸν σπόγγον ἐπιτίθει. Τὰς δὲ λύσεις ποιοῦ διὰ τριῶν ἢ τεσ-
σάρων ἡμερῶν.

1 κηʹ. Ἀδαμαντίου πρὸς ἐντεροκηλικούς. — Κηκῖδας, ἅλικα, κνίδης
ῥίζας ἴσα ἑψήσας οἴνῳ πρωτείῳ στύφοντι λείου ἕως γένηται κηρω-
τῆς πάχος, καὶ κατάπλαττε κατὰ τοῦ περιτοναίου, λύων διὰ ἡμε-
ρῶν ἑπτὰ ἕως ἀποθεραπείας· ἀνάσπα δὲ καὶ προστύπου τὴν ὀλίσθη-
2 σιν πρότερον. — Ἄλλο τοῦ αὐτοῦ.] Σταφίδων ἐκγεγιγαρτισμένων
3 ℔ αʹ, κυμίνου χνοώδους γο ϛʹ, νίτρου γο γʹ. Ὁμοίως χρῶ· εἰ δὲ δέοι
διὰ τὰς ἀπὸ τῆς περισφίγξεως περιτάσεις χρίειν, κηρωτῇ σικυωνίᾳ

2. καλοῦ] καλουμένου B[a]F[a]P[a]; ἰσχυροῦ BP. — 4. Τὰ σφαιρία θλασθέντα B[a]FP[a]. — 5. ἄχρι B[a]F[a]P[a]. — Ib. τὸ τρίτον ἢ τὸ τέταρτον BB[a]PP[a]. — 6. ἐκθλιβέντα BB[a]PP[a]; ἐκλειφθέντα F[a]. — 7. ἕως..... λάβῃ] ἕως μέλιτος (sic) B[a]P[a]; μέχρι μελιτώδους συστάσεως BP. — Ib. ὑελίνῳ BP. — 10. γυναικῶν καί om. B[a]F[a]P[a]. — 11. ἐνιέμενον B[a]F[a]P[a]. — Ch. 27; l. 19. ποίει BP. — Ch. 28; l. 25. πρῶτον BP. — 27. περιστάσεις BFP.

μασῖίχην χίαν ἐπίπατῖε. — Ἀδαμαντίου βρογχοκηλικόν.] Κηκί- 4
δων γο α', λίθου πυρίτου ∠γ', πυρέθρου ∠β', νίτρου ∠α', τερμιν-
θίνης ∠β', σιλφίου ∠α', σανδαράκης ∠β', κηροῦ γο γ', πίσσης
γο γ', ἀξουγγίου παλαιοῦ γο β', σῖυπῖηρίας ὑγρᾶς γο α'. Τὰ ξηρὰ 5
οἴνῳ ἀθαλάσσῳ καὶ ἑψήματι λειώσας ἐπίβαλε τὰ τηκτά. — Πρὸς
βρογχοκήλας καὶ ὑγροκήλας.] Βδέλλιον πῖυάλῳ ἀσίτου δεύσας ὡς 6
ἐμπλασῖώδη σύσῖασιν ἔχειν χρῶ. — Πρὸς ἐντεροκηλικούς.] Κυπα- 7
ρίσσου τὰ φύλλα καὶ οἱ βλασῖοὶ καὶ τὰ σφαιρία τὰ νέα καὶ ἁπαλά·
λειώσας ἔμπλασσε καὶ ἐπιδέσμει. Τινὲς δὲ οἴνῳ ἑψήσαντες πρότε- 8
ρον τὰ αὐτὰ ποιοῦσιν· μάλισῖα δὲ ποιεῖ τοῖς διὰ ὑγρότητα σώμασι
χαλαροῖς· ξηραίνει γὰρ καὶ τόνον ἐντίθησιν. — Πρὸς ὑγροκήλας.]
Σταφίδων χωρὶς τῶν γιγάρτων ∠η', ἄμμεως ∠κ', νίτρου ἐρυ- 9
θροῦ ∠ι', τερμινθίνης ∠η', μέλιτος παχυτέρου ∠ις'. Ἕψε τὸ μέλι 10
καὶ τὴν ῥητίνην ἕως ἐμπλασῖῶδες γένηται, τὰ δὲ ξηρὰ χνοώδη τῇ
σῖαφίδι λειοτάτῃ συλλειώσας ἐπίβαλε τὸ μέλι, ἔπειτα μαλάξας καὶ
ἑνώσας χρῶ, ἀναλαβὼν τὸν ὄσχεον ταινιδίῳ. Ἡσυχαζέτω ὁ πάσχων 11
μὴ λουόμενος· τὰς δὲ λύσεις παρὰ μίαν ποιοῦ, ἔπειτα σπόγγοις
ἀποπυρία, καὶ πάλιν νεαρὸν ἐπιτίθει.

κθ'. Ἀδαμαντίου πρὸς μελικηρίδας καὶ τὰ ὅμοια. — Κηροῦ γο β', 1
τερεβινθίνης γο β', λεπίδος χαλκοῦ γο β', νίτρου γο α', θείου ἀπύ-
ρου γο α', καννάβεως ἀγρίας ῥίζης ξηρᾶς ∠λε'· εἰ δὲ μὴ, ἀρισῖο-
λοχίας σῖρογγύλης τὸ αὐτό· κόπρου περισῖερᾶς ∠λε', ἐλαίου
παλαιοῦ ⅋ α'. Ἐναφέψει τῷ ἐλαίῳ τὰς ῥίζας. 2

λ'. Ὁ κόραξ πρὸς νομάς. — Λιβάνου γο β', ἰοῦ γο δ', τερμινθί- 1
νης γο η', χαλκάνθου γο ις', κηροῦ γο η', κηκῖδος γο η', ταυρείου
σῖέατος γο η', μέλιτος γο η', ἐλαίου μυρσινίνου γο η', ὄξους τὸ ἀρ-
κοῦν πρὸς ἐκλείωσιν. Μετὰ τὸ βληθῆναι τὰ ἄλλα ἐπεμβάλλεται ὁ 2
λίβανος καὶ καταχεῖται κατὰ τοῦ κακκάβου.

1. χίαν c N; λείαν AF; λίαν BP. — Ib. ἐπιπάσσων BFP. — 3. κηροῦ ∠γ' AF. — 8. καὶ τὰ ἁπαλά BFP. — 15. ἐπίβαλλε τῷ μέλιτι BP. — Ch. 30; l. 25. Codd. gr. — γο η' post. κηκ.] γο β' BP. — 26. γο η'] γο β' B; γο α' P. — Ib. γο η'] γο β' BP. — Ib. ἐλαίου... η' c LN; om. Codd. gr. — 27. ἐμβάλλεται BP.

λα'. Πρὸς βρογχοκήλας τὸ διὰ ἁλῶν, ἐπὶ ὧν καὶ διαφορῆσαι
1 χρή. — Ἁλῶν κοινῶν πεφρυγμένων ℔ α', ἢ τέφρας πρασίων ℔ α',
2 ψιμμιθίου ℔ α', ἐλαίου παλαιοῦ ℔ α'. Ἕψε ἕως ἀμολύντου.
1 λϐ'. Πρὸς φλεγμονὰς ἕδρας. — Ὠοῦ ὀπλοῦ λέκιθος, ὀπίου ὀϐο-
λὸς, κρόκου ὀϐολὸς, μέλιτος τὸ ἀρκοῦν.
1 λγ'. Ἐντατικόν. — Σατυρίου ∠ϐ', εὐζώμου σπέρματος ∠δ', πυρέ-
θρου ∠δ', κάχρυος ∠γ', αἰδοίου ἐλαφείου ∠ϐ', σκίγκου οὐρᾶς ∠ϐ',
εὐφορϐίου ∠α', τερμινθίνης γο α', κηροῦ ∠δ', ᾠὰ σΊρουθῶν τρω-
γλιτῶν γ', ἀσκαλαϐώτας τρεῖς, ἐλαίου δαφίνου ἢ ἰρίνου τὸ ἀρκοῦν.
2 Βρέχονται ζῶντες ἐν ὄξει οἱ ἀσκαλαϐῶται ἕως ἡμερῶν μ' τεθέντος
τοῦ ἀγγείου ἐν κοπρίᾳ καὶ χωσθέντος.
1 λδ'. Καταγματική. — Πίσσης βρυτΊίας ℔ α' γο δ', λιθαργύρου ℔ α'
γο δ', λιϐάνου γο η', τερμινθίνης γο η', σΊέατος ταυρείου ℔ α' γο δ',
χαλϐάνης γο α', ὀποπάνακος γο α', κηροῦ γο δ', ἐλαίου παλαιοῦ
2 ℔ α', ὄξους γο ε'. — Πρὸς ἀπαλόχρωτας καὶ δυσελκεῖς ἐκ τοῦ τε-
3 τάρτου τῶν κατὰ γένος πρὸς τῷ τέλει.] Κηροῦ ℔ α', ῥοδίνου ℔ α',
ψιμμιθίου γο η', θείου ἀπύρου γο β', ἁλὸς ἀμμωνιακοῦ γο δ', λε-
πίδος κυπρίας γο β', λιϐανωτοῦ γο α', σχισΊῆς γο α', ἰοῦ γο α',
4 σιδίων γο α', ἀσϐέσΊου γο α'. — Ἄλλο.] Ἀντὶ μὲν ἰοῦ ἔχον θείου
τὸ διπλάσιον, ὁμοίως δὲ καὶ λεπίδος τὸ ἥμισυ.
1 λε'. Πρὸς φαγέδαιναν. — Ψιμμιθίου γο η', θείου ἀπύρου γο β',
λεπίδος γο α', ἰοῦ γο α', λιϐάνου γο α', σιδίων γο α', ἁλὸς ἀμμω-
νιακοῦ γο β', σΊυπΊηρίας σχισΊῆς γο α', ἀσϐέσΊου γο α', κηροῦ ℔ α',
2 ῥοδίνου ℔ α'. Τὸν κηρὸν καὶ τὸ ῥόδινον τήξας ψῦξον, τὰ λοιπὰ
λείου, τὴν δὲ κηρωτὴν ζέσας πρόσϐαλλε, καὶ πάλιν ἐπιμελῶς λείου.
3 Ἐν τῇ χρήσει πλάτυσμα ποιοῦ ἴσον τῇ ἑλκώσει, ἐπιτίθει δὲ

Ch. 31; l. 1. καὶ ἐφ' ὧν διαφορῆσαι BP. — Ch. 33; l. 6. ∠ϐ'] γο η' BP. — 9. δαφνίνου BP. — Ib. τὸ ἀρκοῦν Paul.; om. Codd. — Ch. 34; l. 13. λιϐάνου γο δ' A. — 15-16. ἐκ... τέλει post φαγέδαιναν (l. 21) Codd. gr. et lat. — 16. ῥοδ. ℔ α' om. BFP. — 17. γο η'] γο β' BP. — Ib. θ. ἀπ. γο β' N; om. ABFP Gal. — Ib. ἁλός om. A. — 18. λιϐάνου A. — Ch. 35; l. 22. σιδ. γο β' BP. — 23. γο α' BP. — Ib. σΊυπΊ. γο β' BP. — 25. κηρωτήν] ῥητίνην A. — Ib. πρόσϐαλε BFP. — 26. δέ] καί BFP.

ἐπάνω σπόγγον ἐξ ὕδατος ψυχροῦ, καὶ ἐπίδει ἐπιτεταμένως ἀλλάσ-
σων τὸ φάρμακον.

λϛʹ. Ἀδαμαντίου πρὸς φαγεδαίνας καὶ παλαιὰ καὶ δυσεπούλωτα.
— Βολβοῦ σκίλλης ἑνὸς τὸ ἁπαλώτατον εἰς ἐλαίου ℥ αʹ βαλὼν ἕψε 1
ἕως ἀποτριτωθῇ, καὶ τῷ ἐλαίῳ χρῶ περιχρίων πτερῷ τὸ ἕλκος
χωρὶς τοῦ διαμοτῶσαι. Τὸ αὐτὸ καθαιρεῖ, σαρκοῖ, ἀπουλοῖ, τὸ δὲ 2
μεῖζον, οὐδὲ μυῖα ἐπικαθέζεται τῷ ἕλκει, τούτου ἐπιχρισθέντος. —
Ἄλλο τοῦ αὐτοῦ πρὸς φαγεδαινικὰ ἕλκη.] Σταφυλίνου φύλλα λεῖα 3
ἐπιτίθει μετὰ μέλιτος, κάλλιον μὲν εἰ ἀγρίου· εἰ δὲ μὴ, ἡμέρου. —
Ἄλλο πρὸς πάντα τὰ κακοήθη ἕλκη καὶ φαγεδαινικά.] Ὀποῦ κυρη- 4
ναϊκοῦ, ὄνυχος ὄνου κεκαυμένου, καρκίνων ποταμίων κεκαυμένων
ἀνὰ γο αʹ, μολίβδου κεκαυμένου, καδμείας, λιβάνου ἀνὰ γο Sʹʹ. Τὸν 5
μὲν οὖν ὄνυχα λείου γάλακτι ὀνείῳ, τοὺς δὲ καρκίνους ὕδατι, τὸν
δὲ μόλιβδον καὶ τὴν καδμείαν λείου μετὰ ὀξυῤῥοδίνου ἰδίᾳ, εἶτα
λειωθέντα ἐπιβάλλων τὸν ὀπὸν καὶ τὸν λίβανον μετὰ μυρσινίνου ἐλαίου
ὀλίγου μίξας ὁμοῦ πάντα καὶ ποιήσας ὡς ἀνακόλλημα, καταβρέχων
ὀθόνιον ἐπιτίθει, καὶ ξηραινόμενον ἄλλασσε συνεχῶς μολυνόμενον
μόνον τοῖς ἰχῶρσιν. — Πρὸς ἕλκη κακοήθη καὶ δυσεπούλωτα καὶ
χρόνια καὶ σηπεδονώδη καὶ πλαδαρά.] Λημνία σφραγὶς τὰ τοιαῦτα 6
ἕλκη ὠφελεῖ μεγάλως προσκομιζομένη κατὰ σύστασιν πηλώδη,
ἀλλὰ εἰ μὲν εἴη τὸ ἕλκος δυσῶδες καὶ πάνυ πλαδαρὸν καὶ ῥυπαρὸν,
ἄνιε αὐτὴν ὄξει δριμυτάτῳ· εἰ δὲ μὴ, διὰ οἴνου, ἢ ὕδατος, ἢ ὀξυ-
κράτου, ἢ ὀξυμέλιτος, ἢ μελικράτου, ἢ ὅπως ἂν ὑποφαίνῃ τὸ πρόσ-
φορον τῆς χρήσεως. — Πρὸς ἕλκη καρκινώδη καὶ κακοήθη, καὶ
πρὸς τὰς ἐν αἰδοίοις καὶ ὄρχεσι καὶ ἕδρᾳ καὶ μαστοῖς φλεγμονὰς,
ἔτι δὲ ῥαγάδας, στολίδας, ἀναξέσεις ἕδρας.] Ἐν μολιβδίνῃ θυίᾳ καὶ 7
δοίδυκι μολιβδίνῳ τρίβων ποίει γλοιῶδες, τρίβε δὲ ἢ ῥόδινον, ἢ

1. ἐπιδέσμει A; om. BP. — 2. τὸ φάρμακον ex em.; τοῦ φαρμάκου A; τῷ φαρμάκῳ BFP. — Ch. 36; l. 5. ἕως ἂν A. — 6. καθαίρει Codd. — Ib. ἐπουλοῖ ABP. — 9. εἰ δὲ μή γε BP. — 12. μ. κεκ. LN; μ. κεκ., σχίνου Codd. gr. — 13. οὖν om. A. — 15. ἐπιβαλὼν F; ἐπιβαλοῦ P; ἐπιβαλλοῦ B. — 16. ἀνακόλλ. LN; ἀνάκομμα AF; ἀνάκομα BP. — 22. ἄνιε] ῥάνεις BP. — 23. ἀποφαίνοι A. — 27-p. 115, l. 1. τρίβε σὺν ῥοδίνῳ ἢ ὀμφακίνῳ ἐλαίῳ BP.

ἔλαιον ὀμφάκινον, ἢ χυλὸν ἀειζώου, ἢ κοτυληδόνος, ἢ θριδακίνης,
8 *ἢ ψυλλίου, ἢ ὄμφακος σΊαφυλῆς, καὶ περίχριε.* Κενταύριον *τὸ μι-*
κρὸν πρόσφατον καταπλασσόμενον τὰ δυσεπούλωτα ἐπουλοῖ, καὶ
9 *τὰ κακοήθη τῶν ἑλκῶν ἰᾶται.* — Πρὸς *κάθυγρα ἕλκη.*] Κυπα-
ρίσσου τὰ φύλλα καὶ οἱ βλασΊοὶ καὶ τὰ σφαιρία τὰ νέα καὶ ἁπαλὰ
τὰς ὑγρότητας τῶν πλαδαρῶν ἑλκῶν καὶ σηπεδονωδῶν ἀλύπως καὶ
ἀσφαλῶς ἐκδόσκεται καταπλασσόμενα ἢ κατὰ ἑαυτὰ ἢ οἴνῳ ἀποζεν-
10 *νύμενα.* Κέχρησο *δὲ καὶ τῇ εἰρημένῃ κατὰ τὸ κε´ καὶ κϛ´ κεφά-*
11 *λαιον ἀγωγῇ.* — Πρὸς *τὰ κάθυγρα ἕλκη.*] Κυπέρου *ῥίζαι τὰ διὰ*
12 *ὑγρότητα δυσεπούλωτα θαυμασΊῶς ὠφελοῦσιν.* Κολοκύνθης *ξηρᾶς*
κεκαυμένης ἡ τέφρα τοῖς μὴ φλεγμαίνουσι μέν, καθύγροις δὲ καὶ
13 *σηπομένοις ἁρμόζει, καὶ μάλισΊα τοῖς ἐν πόσθῃ αἰδοίου.* Τὸ *δὲ*
αὐτὸ ποιεῖ καὶ ἀνήθου ῥίζης ἡ τέφρα. — Πρὸς *ἕλκη κακοήθη καὶ*
14 *ῥευματιζόμενα καὶ σηπεδονώδη.*] Ἀρνόγλωσσον *κατάπλασσε χλω-*
15 *ρὸν ἢ κόψας ξηρὸν ἐπίπασσε.* — Ἄλλο *πρὸς τὰ αὐτά.*] Ἰσάτις *ἥμε-*
ρος δρασΊικῶς ἀνθίσΊαται τοῖς τοιούτοις ἕλκεσι σηπομένοις καὶ
16 *ἀναδιδρωσκομένοις.* Εἰ *δὲ ἰσχυροτέρα φαίνοιτο ἡ ἰσάτις τῆς τοῦ*
κάμνοντος ἕξεως, μιγνύναι χρὴ τοῖς φύλλοις αὐτῆς ἢ ἄρτον, ἢ κρί-
θινον, ἢ πύρινον ἄλευρον, ἢ ἄλφιτα. — Πρὸς *τὰ χειρώνεια ἕλκη.*]
17-18 Λεπίδος *χαλκοῦ ∠ι´, κηροῦ ∠ι´, σΊυπΊηρίας σχισΊῆς ∠β´.* Τὸν
κηρὸν θερμάνας καὶ μαλάξας, ἀνάμιξον τὰ ξηρὰ καὶ ἀνάλαδε λειό-
τατα, καὶ εἰς ὀθόνιον ἐμπλάσας ἐπιτίθει. — Πρὸς *ἕλκη θηριώδη.*]
19-20 Σίδιον *καύσας λεῖον ἐπίπασσε, ἢ αὐτὸ λειώσας ἐπίπασσε.* Ἢ *σΊυ-*
πΊηρίαν σχισΊὴν κεκαυμένην λείαν ἐπίπασσε. — Ἄλλο *πρὸς τὰ*
21-22 *αὐτά.*] Ὑσσώπου *∠δ´, σΊαφίδων ∠δ´, νίτρου ∠6´.* Λεῖα *ποιήσας ἐπί-*
23 *πατΊε προϋποχρίσας μέλιτι τὸ ἕλκος.* — Πρὸς *ἕλκη σηπεδονώδη*
καὶ νεμόμενα χαλκῖτις, ἀρσενικόν, τίτανος, ἢ κατὰ ἑαυτά, ἢ ἅμα
24 *ἐπιπασσόμενα ποιεῖ.* — Ἢ *πράσιον ἑφθὸν γενόμενον ἐν οἴνῳ κατά-*

2. Καὶ *κενταύριον* A. — 4. Ἄλλο *πρός* A. — Ib. *τὰ κάθυγρα* ABP. — 7. *αὐτά* A. — 9. Ἄλλο *πρός* A. — Ib. *τά* om. A. — Ib. *αἱ ῥίζαι* A. — 13. *ἡ* om. A. — 18. *ἢ* ante *κρίθινον* om. AF. — 19. *ἀλ. καὶ ἄλφιτα* BP. — 22-23. Πρὸς..... *λειώσας ἐπίπασσε* om. BFP. — 25. *σΊαφίδος* BFP.

8.

πλασσε, ἢ ὄροϐον λεῖον μετὰ μέλιτος ἐπιτίθει, ἢ ἐλαίας φύλλοις
ἀπαλοῖς ἑφθοῖς ἐν οἴνῳ λειώσας ὡσαύτως χρῶ· κατάντλει δὲ ὕδατι
θαλαττίῳ θερμῷ. — Πρὸς *σκώληκας τοὺς ἐν ἕλκεσι τοῖς σηπεδο-*
νώδεσι γινομένους.] Χυλὸν *καλαμίνθης ἔγχει, ἢ αὐτὴν τὴν καλα-* 25
μίνθην χλωρὰν λειώσας κατάπλασσε. — Πρὸς *χρονίας καὶ δυσσαρ-* 26
κώτους καὶ συριγγώδεις κοιλότητας ἑλκῶν ἐκ ῥευμάτων ὀστρείων ὀστᾶ
καύσας λειώσας ἐπίπαττε. Πευκεδάνου *ῥίζα ἐπιπάττεται ξηρὰ γενο-* 27
μένη χνοώδης· αὕτη γὰρ ἐκκαθαίρει καὶ σαρκοῖ καὶ ἐπουλοῖ. — Πρὸς
ἕλκη ϖλαδαρά.] Ἔρια *κεκαυμένα λεῖα ἐπιπαττόμενα τὰς ϖλαδαρὰς* 28
σάρκας ἐπὶ τῶν ἑλκῶν ἀποτήκει τάχιστα. Πλατάνου *φλοιὸς καυθεὶς* 29
καὶ λεῖος ἐπιπαττόμενος τὰ διὰ ὑγρότητα ϖολλὴν ἕλκη ϖλαδαρὰ καὶ
ῥυπαρὰ ἰᾶται. — Πρὸς *ἕλκη δυσεπούλωτα.*] Ἀλόη *τὰ δυσεπούλωτα* 30
τῶν ἑλκῶν ἰᾶται τὰ κατὰ ἕδραν καὶ αἰδοῖον μάλιστα, ὠφελεῖ δὲ καὶ
τὰς φλεγμονὰς αὐτῶν ὕδατι διεθεῖσα. — Πρὸς *ἕλκη ϖαλαιά.*] Τὰ 31
ϖαλαιὰ ἕλκη ἰᾶται κηρὸς ἐν ἡλίῳ μαλαχθεὶς καὶ ἀναλαϐὼν λεπίδα
χαλκοῦ χνοώδη ὡς ἔνι μάλιστα ϖλείστην, ἢ χρυσοκόλλαν. Δεῖ *δὲ* 32
εἰς ὀθόνην ἐμπλάσσοντα τιθέναι καὶ μὴ ἀφαιρεῖν συνεχῶς.

λζ'. Πρὸς *στίγματα καὶ οὐλάς.* — Κηκῖδος *ὀμφακίτιδος, μελαντη-* 1
ρίας, ἔτι δὲ καὶ σιδίων ῥοιᾶς χυλίζοντας ϖαραχεῖν ἀμπελοπράσων
χλωρῶν χυλὸν, ἕως ἂν ἀπαλωτάτης κηρωτῆς σχῇ ϖάχος, ἐκνιτρώ-
σαντας δὲ καὶ ἀποσμήξαντας τὸ ϖρόσωπον, ἢ καὶ ᾧ τινι τοῦ σώ-
ματος μέρει ἐγγραφόμενα ταυτί μοι τὰ στίγματα. — Σεύτλου 2
ἀφεψήματι νίτρῳ τε ὀπτῷ καὶ ὀροϐίνῳ σμήγματι ἀποῤῥύπτεται·
ἢν δὲ τῷ μέλανι τῷδε ᾧ στίζονται ἄνθος χαλκοῦ μίξῃ τις, ἀεὶ διαρ-
κέσει· ἐξαλείψεις δὲ τὰ στίγματα καὶ τὰς οὐλὰς ἐκνιτρώσας τὸν
τόπον. Καταπλάσσων *τὰ στίγματα ἐπὶ ἡμέρας ϖέντε ῥητίνῃ, τῇ* 3
δὲ ἑξῆς ἐκλύσας, βελόναις κατακέντησον στιγμαῖς ϖυκνοτάταις ὡς

14. Τὰ *ἕλκη τὰ ϖαλαιά* A. — Ch. 37; l. 19. *ἔτι δέ* om. A. — Ib. *καί* om. ABP. — Ib. *χυλίζοντα* ABP. — Ib. *ϖαρασχεῖν* Codd. — 21. *ᾧ τινι* ex em.; *ὅ τι* Codd. — 22. *μέρει* ex em.; *μέρος* Codd. — Ib. *ἐγγραφόμενα* ex em.; *ἐγραφόμεν* ABFP. — 24. *ᾧ στίζονται* ex em.; *ἐν ᾧ στίζονται* A; *ἐνωτίζονται* BP; *ἐνωτίζωνται* F. — 25. *δέ* om. BP. — 26. Καὶ *καταπλάσσων* A.

ἀμύξαι συμμέτρως τοὺς τόπους· ἀμύξας δὲ τὸ αἷμα τρῖψον, καὶ δια-
λιπὼν ὅσον ἡμιώριον, εἶτα σπογγίσας ἐντίθει τὸ φάρμακον ἐπὶ ἑκά-
σΊου τῶν σΊιγμάτων· τῇ τριταίᾳ δὲ πάλιν αὐτὸ λύσας τῶν ἐπιδέ-
4 σμων ἐλευθέρου. Διὰ μὲν οὖν τὴν τοῦ φαρμάκου χρῆσιν μελανία
τις ὀλιγοχρόνιος ἐπιγενήσεται, οὔτε δὲ ἕλκος, οὔτε οὐλή τις, καὶ
5 τὸ μελανθὲν ἀφανισθήσεται ἐν οὐδὲ ὅλαις ἡμέραις εἴκοσιν. Τὴν
δὲ τοῦ φαρμάκου σύνθεσιν οὕτω ποίει· κηροῦ, νίτρου, ἀφρονίτρου,
ἀσβέσΊου κονίας, λιβανωτοῦ ἴσα τρίψας ἐπίχει μέλιτος ἑνὸς τῶν
προειρημένων τὸ διπλάσιον, δηλαδὴ συντηκομένου τοῦδε τῷ κηρῷ.
1 λη'. Πρὸς ὄνυχας ψωρώδεις. — Ἰξοῦ δρυΐνου γο β', τηλίνου ἀλεύ-
ρου γο β', θαψίας χυλοῦ γο β', κανθαρίδων γο α', σανδαράκης γο β',
ὄξους τὸ ἀρκοῦν.
λθ'. Ἡ διὰ ἁλῶν ποιοῦσα πρὸς ἀποσΊήματα, χοιράδας, καὶ πάν-
1 τα ὅσα σιδήρου χρῄζει. — Ἅλατος ἀμμωνιακοῦ, μολιβδαίνης, ἐλαίου,
κονίας κληματίνης σΊακτῆς ἀνὰ ℔ α', περιστερῶν κόπρου γο γ'.
2 Βαλὼν εἰς θυίαν τὸ ἅλας καὶ τὴν κονίαν λείου, ἕως ἂν λυθῇ τὸ ἅλας,
εἶτα ἐπίβαλλε μολίβδαιναν, ἔλαιον καὶ τὴν κόπρον καὶ συλλειώσας
παντελῶς ἕως γλοιοῦ γένηται πάχος, καὶ βαλὼν εἰς κάκκαβον ἕψε
μαλθακῷ πυρὶ ἕως ἀμόλυντον γένηται, καὶ ἀναλαβὼν χρῶ.
μ'. Κηρωταὶ καὶ ἐμβροχαί. — Κηρωτὴ ποιοῦσα πρὸς παρω-
1 τίδας καὶ φύματα πάντα καὶ δοθιῆνας. Ἐλαίου, κηροῦ, σάπωνος,
2 σΊακΊῆς, νίτρου ἀνὰ ℔ α'. Τῆκε τὸν κηρὸν ἐν τῷ ἐλαίῳ· λελειώσθω
δὲ ὁ σάπων μετὰ τῆς σΊακτῆς ἐν θυίᾳ, εἶτα τὸ νίτρον εἰς τὴν
θυίαν βαλέσθω, καὶ τὰ ἐν τῇ θυίᾳ βαλὼν εἰς κακκάβην ἐπιτίθει
ταύτην.
1 μα'. Πρὸς βουβωνοκηλικούς. — Ταυροκόλλης, σιδίων ἀνὰ ∠α',
2 λιβάνου, ὑποκισΊίδος χυλοῦ ἀνὰ γο α'. Ἀναλάμβανε γλυκεῖ.
1 μβ'. Κηρωτὴ ἄλλη διὰ τεσσάρων. — Κηροῦ, ταυρείου, φρυκτῆς,

1. ἀμυδρῶς A. — Ib. δέ om. BP. — 2-3. ἑκάσΊω BFP. — 3-4. ἐπιδεσμάτων BP. — 5. γενήσεται A. — Ib. ῥάκος A. — 9. τούτου A. — Ch. 39; l. 16. ἔσΊαν BP. — Ch. 40; l. 20. Κηρωτή om. BP. — Ib. ἐνεργοῦσα BP. — 24. βαλλέσθω ABP. — Ch. 41; l. 26. βουβωνοκήλας A.

ἀξουγγίου ἴσα. — Ὁ ἀζανίτης.] Κηροῦ, ϖιτυΐνης, οἰσύπου, χοι- 2
ρείου σῖέατος, φρυκτῆς ἀνὰ ℔ α', ταυρείου γο ϛ', ϖίσσης γο ϛ'.

μγ'. Χαλαστικόν. — Κηροῦ, φρυκτῆς, ϖιτυΐνης, σῖέατος χοιρείου 1
ἀνὰ ℔ α', ϖίσσης, οἰσύπου, μυελοῦ ἐλαφείου ἀνὰ γο γ'.

μδ'. Ὑποχονδριακὴ ἀνηθίνη. — Ἐλαίου ℔ β', θαλάσσης ℔ α', 1
ἀνήθου γο ϛ', σκίλλης γο δ', σῖέατος ϖροσφάτου ℔ α', κηροῦ ℔ α'.

με'. Ἐπὶ καυσουμένων. — Ἐπὶ δὲ καυσουμένων καὶ ἐπὶ κα- 1
ταγμάτων ὕδατος ϖοτίμου ἀντὶ ἅλμης καὶ ἀγχούσης.

μϛ'. Πρὸς ἐρυσιπέλατα ἐπίχρισῖον. — Ψιμμιθίου ∠η', θείου 1
ἀπύρου ∠β', ὀπίου ∠δ', ὄξους τὸ ἀρκοῦν.

μζ'. Ἐπιβροχὴ κεφαλῆς. — Ναρδίνου μύρου γο η', ἰρίνου γο η', 1
ὀποβαλσάμου γο β', σῖακτῆς γο β', κεδρίας λακωνικῆς γο β'.

μη'. Ἄλλη ἐπὶ κρουσμάτων καὶ ϖληγῶν ὥσῖε ἀφλέγμαντα μεῖ-
ναι. — Ἐλαίου μέρη δ', ὄξους μέρος ἕν, ξύλα ἀνήθου δέσμην, ὥσῖε 1
κινεῖν ἑψόμενον ἐν θερμοσποδιᾷ ἕως ἀφεψηθῇ τὸ ὄξος, εἶτα ἐπί-
βαλλε κηροῦ ἕως γλοιῶδες γένηται.

μθ'. Πρὸς καρδιακούς. — Κηρὸν τήξας μετὰ οἰνανθίνου ϖρόσβαλε 1
ῥοῦν συριακὸν καὶ χρῖε ὅλον.

ν'. Πρὸς ϖοδαγρικούς. — Παλαιότατον ἔλαιον ἕψε ἕως οὗ σύσῖα- 1
σιν λάβῃ ἐμπλασῖώδη, καὶ ἐπιπάσας λειότατον νίτρον, καὶ ἀναλαβὼν
χρῶ ἐμπλάσας εἰς ὀθόνην.

να'. Ἡ χεὶρ τὸ κηρώτιον. — Κηροῦ γο ε', ταυρείου γο δ', βου- 1
τύρου γο γ', οἰσύπου γο β', τερμινθίνης γο α'. Τῆκε. 2

νβ'. Ἐπιβροχὴ κεφαλῆς, ᾗ ἐχρησάμεθα. Ἰρίνου γο ε', ναρδίνου 1
γο δ', ὀποβαλσάμου γο β', δαφνίνου γο β', σῖακτῆς γο β'.

νγ'. Πρὸς ἑρπησῖικὰ ἕλκη καὶ ἐρυσίπελας. — Ἡδυόσμου, θείου, 1

Ch. 44; l. 6. σκ. γο α' BP. — Ch. 46; l. 9. ∠η'] γο β' BP. — Ch. 47; l. 11. Ἐμβροχαί A. — Ch. 48; l. 13. ὥσῖε] εἰς τό BP. — 14. ξυλανήθου A. — 14-15. ὡς κινεῖν A. — 15-16. ἐπίβαλε ABP. — 16. ὡς Codd. — Ch. 49; l. 17. οἰνάνθης A. — Ib. ϖρόσβαλλε BP. — Ch. 50; l. 19. ϖοδαγρούς BFP. — 21. ὀθόνιον BP. — Ch. 51; l. 23. οἰσύπου e LN qui habent *ysopu ceroles*; ὑσώπου F; ὑσσώπου ABP. — Ch. 52; l. 24. νάρδου BFP.

2 ψιμμιθίου, ἀκακίας ἴσα. Γλυκεῖ ἀναλάμβανε· ἐπὶ δὲ τῆς χρείας ὄξει
3 χρῶ. Τοῦτο ἐσκεύασα πολλάκις.

1 νδʹ. Πρὸς ἀχῶρας. — Λιθαργύρου ∠κʹ, ἀσβέστου ∠κʹ, ὄξους
2 κο. αʹ. Ἐκλειώσας τῷ ὄξει ἐπιμελῶς ἐπίβαλλε γο αʹ ἐλαίου καὶ
ἀναλαβὼν χρῶ.

1 νεʹ. Χρῖσμα πρὸς νευρικὰς συμπαθείας. — Ἐλαίου τηλίνου λ̸ βʹ,
κηροῦ γο δʹ, τερμινθίνης γο γʹ, οἰσύπου γο γʹ.

1 νςʹ. Μάλαγμα Μνασέου. — Ἐλαίου λ̸ αʹ, κηροῦ λ̸ αʹ, λιθαργύ-
ρου λ̸ γʹ, στέατος ὑείου λ̸ αʹ, φρυκτῆς γο ςʹ.

νζʹ. Τὸ Ἀμυθάονος πρὸς τὰς τῶν ὑποχονδρίων διατάσεις· λύει
πᾶσαν σκληρίαν, ποιεῖ καὶ πρὸς τὰ δυσκίνητα τῶν ἄρθρων. —
1 Ἀμμωνιακοῦ θυμιάματος γο λςʹ, κηροῦ γο λςʹ, τερμινθίνης, βδελ-
λίου, χαλβάνης ἀνὰ γο ηʹ, λιβάνου, σμύρνης, κυπρίνου ἀνὰ γο δʹ.
2 Βρέχεται σμύρνα, λιβανωτὸς, βδέλλιον οἴνῳ, τὸ δὲ ἀμμωνιακὸν
ὄξει διαλύεται, πάντα δὲ κόπτεται τοῦ ὑπέρου χριομένου τῷ κυπρίνῳ
μέχρι παντελοῦς διαλύσεως.

1 νηʹ. Τὸ διὰ σπερμάτων πρὸς τὰ ἐντὸς πάντα. — Ἀμμωνια-
κοῦ ∠νʹ, κηροῦ ∠νʹ, τερμινθίνης ∠νʹ, τήλεως, πάνακος, ἴρεως,
νίτρου, στέατος ταυρείου τεθεραπευμένου ἀνὰ ∠κεʹ, μέλιτος ∠ηʹ S'',
ὄξους κο. αʹ, κυπρίνου ὀλίγον.

1 νθʹ. Τὸ διὰ πτισάνης. — Τήλεως, λινοσπέρμου, πτισάνης ἀνὰ
2 κο. αʹ, μελιλώτου γο βʹ, ἀναδενδρομαλάχης ἐβίσκου λ̸ βʹ. Τούτων
ἑψηθέντων ἐν ὕδατι ἀπὸ τοῦ χυλοῦ λ̸ γʹ, ἐλαίου παλαιοῦ λ̸ γʹ, πάλιν
ἕψε ἕως λειφθῇ τὸ ἔλαιον, καὶ πρόσβαλε τῷ ἐλαίῳ ταυρείου γο ςʹ,
φρυκτῆς γο ςʹ, κηροῦ λ̸ δʹ S'', χαλβάνης γο αʹ.

1 ξʹ. Ληξιπύρετον. — Κηροῦ γο ςʹ, στέατος ταυρείου νεαροῦ γο ςʹ,
2 ῥοδίνου γο ιβʹ, λινοσπέρμου χυλοῦ ὅσον ἂν ἐπιδέχηται. Τὰ τηκτὰ

Ch. 54; l. 4. ἐπίβαλε A; ἐπιβαλὼν B, idque post ἐλ.; P eodem loco ἐπιβάλλων. — Ch. 57; l. 10. διατάσεις LN Gal.; διαθέσεις Codd. gr. — 11. καὶ τὰ πρὸς τά BFP. — 13. γο ηʹ] γο βʹ A. — Ch. 58; l. 18. κ. ∠νʹ, τερ. ∠νʹ Gal. *sec. gen.*; om. Codd. — Ch. 59; l. 22. ἐβίσκου] ἢ ἀλθέα F marg. — Ib. λ̸ βʹ e N; om. Codd. gr. — 23. ἑψηθεισῶν Codd. — 24. πρόσβαλλε BP. — 25. λ̸ δʹ S''] γο βʹ BP. — Ch. 60; l. 26. ν. γο ςʹ] ν. γο γʹ BP. — 27. πηκτά Codd.

τῆκε καὶ κατέρα καὶ κίνει τῇ χειρὶ, καὶ ἐπίϐαλε κατὰ βραχὺ τοῦ χυλοῦ, τὸν δὲ χυλὸν οὕτω ποίει. Τὸ λινόσπερμον πλῦνε ἐπιμελῶς, 3
καὶ λαϐὼν ὕδατος ℥ γ' εἰς μίαν λινοσπέρμου ζέσον δὶς, καὶ οὕτω χρῶ. Ποιεῖ πρὸς καυσουμένους, ἔτι τε καὶ διψώδεις ὄντας καὶ 4
πρὸς φλεγμονὰς ἥπατος καὶ σπληνός.

ξα'. Μάλαγμα τὸ διὰ τήλεως. — Κηροῦ γο η', τερμινθίνης γο ϛ', 1
οἰσύπου γο δ', τηλίνου ἀλεύρου ⅌ α' γο δ', ἐνίοτε δὲ καὶ φρυκτῆς ⅌ α'.

ξϐ'. Ἐπίθεμα σΊομάχου πολύχρησΊον. — Κηροῦ ⅌ α', ναρδί- 1
νου ⅌ α', ἀλόης, μασΊίχης, ἀψινθίου ἀνὰ γο δ', κασίας, σΊύρακος, σχοίνου ἀνὰ γο γ'.

ξγ'. Ἡ τοῦ κουρέως πρὸς σπληνικοὺς, ἡπατικοὺς, ἰσχιαδικούς.
— Πίσσης ξηρᾶς ⅌ δ', κηροῦ, πιτυΐνης, ἀμμωνιακοῦ, δαφνίδων, 1
σΊέατος ταυρείου ἀνὰ ⅌ ϐ', νίτρου ἐρυθροῦ ⅌ ϐ', ἀλεύρου τηλίνου ℥ α', χαμαιλέοντος μέλανος τῆς ῥίζης λειοτάτης ℥ α', κυμίνου λειοτάτου ℥ α' S''.

ξδ'. Τὸ διὰ ψιχῶν πρὸς πᾶσαν σκληρίαν. — Χυλοῦ λινοσπέρ- 1
μου, τήλεως, ἀλθαίας ⅌ α', τερμινθίνης ⅌ α', λιθαργύρου ⅌ β', ψιχῶν ⅌ γ', φρυκτῆς ⅌ ϐ', ἐλαίου ⅌ α', ἴρεως, ἰοῦ, ἀρισΊολοχίας σΊρογγύλης ἀνὰ γο β', μελιλώτου, μάννης, ἁλὸς ἄνθους ἀνὰ γο. γ'.

ξε'. Ἡ διὰ φοινίκων. — Τήλεως, λινοσπέρμου ἀνὰ ⅌ α', μελι- 1
λώτου, χαμαιμήλου ἀνα γο γ', φοινίκων ⅌ ϐ', οἴνου εὐώδους ℥ η', ὕδατος ⅌ α', ἄρτου καθαροῦ ⅌ ϐ', λιθαργύρου ⅌ ϐ', ψιμμιθίου ⅌ ϐ', ἐλαίου ⅌ ε', κηροῦ ⅌ α', κολοφωνίας ⅌ α', τερμινθίνης ⅌ α'. Ἕψε ἕως 2
ἀμολύντου.

ξϛ'. Ἐπίθεμα σΊομαχικοῖς, ἡπατικοῖς καὶ πρὸς τὰς τῶν ὑποχονδρίων φλεγμονὰς καὶ πρὸς πᾶσαν νευρικὴν συμπάθειαν. — Κηροῦ 1

1. κατέρα] τάρατΊε BP. — 3. ὕδατι Codd. Ch. 61; l. 6. γο η'] γο β' BP. — 7. ὑσώπου F. — Ch. 62; l. 9. σΊομαχικόν A; ἐν τῷ σΊομάχῳ BP. — 9-10 νάρδου BFP. — 10. γο δ'] γο α' A. — Ch. 63; 13. γο δ' BP. — 14. ἀνὰ γο β' BP. — Ib. νίτρου ἐρυθροῦ γο α' BP. — 15. ℥ γ' BP. — Ch. 64; l. 18. λιθαργύρου ⅌ α' BP. — 18-19. ψιχῶν ⅌ ϛ' BP. — 20. ἄνθος Codd. — Ch. 65; l. 22. ℥ β' BP. — 24. καλιφωνίας ⅌ β' BP. — Ch. 66; l. 26. πρὸς τῶν F.

∠ρ′, ἀμμωνιακοῦ ∠ρ′, μελιλώτου ∠ιϐ′, κρόκου ∠ιϐ′, σμύρνης ∠ιϐ′,
ἐλαίου κυπρίνου χ̸ α′.

ξζ′. Ἄλλο *βασιλικὸν ἐπιγραφόμενον· ποιεῖ πρὸς τὰς εἰρημένας*
1 *διαθέσεις καὶ πᾶσαν νευρικὴν συμπάθειαν.*—Κηροῦ *μναῖ τρεῖς, ἀμ-*
μωνιακοῦ μναῖ δύο, ῥητίνης φρυκτῆς μνᾶ α′, μελιλώτου μνᾶς ἥμισυ,
προπόλεως, σμύρνης, σλύρακος, νάρδου κελτικῆς, κυπέρου ἰνδικῆς,
ἴρεως ἰλλυρικῆς, καρδαμώμου, πάνακος ἀνὰ ∠κε′, κρόκου ∠κ′, κα-
σίας, μασλίχης χίας, ὀποϐαλσάμου, ἀμώμου, σχοίνου ἄνθους ἀνὰ
∠ις′, οἴνου ἰταλικοῦ εὐώδους ὅσον ἐξαρκεῖ, ναρδίνου ἀσιανοῦ ἀρω-
2 *ματικοῦ χ̸ α′.* Τὰ *ξηρὰ φυράσας οἴνῳ σκεύαζε κατὰ τρόπον.*

ξη′. Κυφοειδὴς *πρὸς ἡπατικοὺς καὶ πρὸς τὰ ἐν θώρακι πάντα.*
1 —Σταφίδων *σαρκὸς ∠κε′· οἱ δὲ ∠ρ′· κρόκου ∠α′· οἱ δὲ τριώϐολον·*
καλάμου ∠ϐ′, βδελλίου ∠β′, κινναμώμου τριώϐολον, κασίας τριώ-
ϐολον, νάρδου τριώϐολον, σχοίνου ∠ϐ′, σμύρνης ∠δ′, τερμινθίνης
∠δ′· οἱ δὲ ∠ις′· ἀσπαλάθου ῥινήματος ὀϐολοὺς ιϐ′, μέλιτος ∠ις′,
2 *οἴνου τὸ ἀρκοῦν.* Δύναται *δὲ καὶ θυμιᾶσθαι τὸ φάρμακον.*

ξθ′. Τὸ *διὰ τῆς οἰνάνθης ἐπίθεμα πρακτικῶς ἐνεργοῦν πρὸς τὰς*
1 *τοῦ σλομάχου ἀνορεξίας καὶ καῦμα καὶ ἔκλυσιν.* — Οἰνάνθης *ξηρᾶς,*
κηκῖδος, ἀκακίας, ῥόδων ξηρῶν, ὀμφακίου, σλυπληρίας σλρογγύλης,
ἀλόης ἀνὰ γο β′, ἐλαίου μυρσινίνου, κηροῦ, πίσσης ἀνὰ χ̸ α′, ῥοὸς
2 *συριακῆς γο δ′.* Οἴνῳ *ἀμιναίῳ κατάῤῥαινε τὰ ξηρά.*

ο′. Ἐκ *τῶν* Γαληνοῦ *πρὸς φλεγμονὰς τὰς ἐν τῷ σλόματι τῆς*
1 *γασλρός.* — Κηροῦ *ποντικοῦ, ἢ τυῤῥηνικοῦ, ἢ τοῦ τυχόντος πλυ-*
θέντος, χειμῶνος μὲν ∠η′, θέρους δὲ ∠ζ′· ναρδίνου μύρου γο α′.
2 Τηκέσθω *ὁ κηρὸς ἐν διπλώματι, κἄπειτα ξυσθεῖσαν τὴν κηρωτὴν*
3 *μίγνυε ἐκλελειωμένῃ ἀκριϐῶς ἀλόῃ καὶ μασλίχῃ ἀνὰ ∠α′.* Εἰ *δὲ*

1. *σμ. ∠ιη′* A. — Ch. 67; l. 7. *∠κε′*] *χ̸ κ′* BP. — 8. *σχοίνου ἄνθους* N Gal.; om. Codd. gr. — 9. *ναρδίνου ἀσιανοῦ* e N qui habet *oleu nardu asianu; νάρδου ἀσιανῆς* BFP Gal. — 9-10. *ἀρωματικοῦ* ex em.; *ἀρωματικῆς* BFP Gal. — Ch. 68; l. 11. *πάντα* om. A. — 14. *σχίνου χ̸ α′* BP. — 15. *ῥινίσματος.* BFP. — Ib. *ὀϐολοὺς β′* A. — Ch. 69; l. 20. *γο α′* BP. — Ib. *χ̸ α′* N Lips.; *γο α′* Codd. gr. — 21. *καταῤῥαίνεται* A. — Ch. 70; l. 24. *ναρδίνου* Gal.; *νάρδου* Codd. — 26. *ἐκλελειωμένης ἀκριϐῶς ἀλόης... μασλίχης* BFP.

*ϖλείονος δέοιτο σῖύψεως ἀτονίας οὔσης ὡς μηδὲ τῶν τροφῶν κρα-
τεῖν, ϖροσμιγνύσθω καὶ ὀμφακίου ∠ α΄· μιγνύσθω δὲ ϖρῶτον τὸ
ὀμφάκιον, εἶτα οὕτω τὰ ἄλλα. Μίγνυε δὲ ἐνίοτε καὶ ἀψινθίου χυλὸν* 4
*καί ϖοτε καὶ ἀμφότερα, ὥσπερ γε καὶ ὑποκισῖίδος, ἢ οἰνάνθης,
καὶ μέντοι καὶ ῥοῦ χυλόν. Παραύξειν δὲ ἀεὶ χρὴ τῆς ναρδίνης κη-* 5
ρωτῆς τὸ ϖλῆθος ἀνάλογον τῷ τῶν ἄλλων φαρμάκων ἀριθμῷ.

οα΄. *Μάλαγμα σπληνικὸν λίαν γενναῖον.* — *Μυροβαλάνου ἀλεύ-* 1
*ρου γο γ΄, νίτρου γο δ΄, κηροῦ γο ϛ΄, τερμινθίνης γο η΄, ὄξους τὸ
αὔταρκες. Τοῦτο ὑπεκτήκει.* 2

οβ΄. *Μάλαγμα τὸ διὰ δαφνίδων σπληνικοῖς, ὑδρωπικοῖς· διαλύει
ϖᾶσαν σκληρίαν, ἀναπίνει τὰς ἐν βάθει ἀποσῖάσεις.* — *Κηροῦ,* 1
*ϖιτυΐνης, ϖίσσης βρυτῖίας ξηρᾶς, νίτρου ἐρυθροῦ, δαφνίδων ξηρῶν,
ἀμμωνιακοῦ θυμιάματος, σῖέατος μοσχείου κατειργασμένου ἀνὰ
λ α΄. Τὰ τηκτὰ τήκεται καὶ τοῖς ξηροῖς ἐπιβάλλεται καὶ ἀνακό-* 2
πῖεται.

ογ΄. *Μάλαγμα τὸ Ἀπολλοφάνους.* — *Κηροῦ, ἀμμωνιακοῦ θυμιά-* 1
*ματος, βδελλίου, ἴρεως ἰλλυρικῆς ἀνὰ ∠ π΄, μάννης λιβάνου, ῥητί-
νης τερμινθίνης ἀνὰ ∠ μ΄. Ἰρίνῳ κόπῖεται.* 2

οδ΄. *Πρὸς ἰσχιαδικούς.* — *Πηγάνου ἀγρίου σπέρματος, σιλφίου,* 1
*δαφνίδων, ἀφρονίτρου, ἀβροτόνου, κολοκυνθίδος, καρδαμώμου, ἄμ-
μεως ἀνὰ ∠ δ΄, ϖηγάνου χλωροῦ μνᾶς ὄγδοον, κηροῦ τὸ αὐτὸ, ϖίσ-
σης τὸ αὐτὸ, τερμινθίνης τὸ αὐτὸ, χαλβάνης ∠ ϛ΄, ὀποπάνακος ∠ δ΄,
θείου ἀπύρου ∠ δ΄. Τοῦτο τὸ φάρμακον ἰσχυρῶς ἐσῖι θερμαντικὸν* 2
καὶ ἕλκειν δύναται τοὺς ἐν βάθει λυποῦντας χυμούς.

οε΄. *Ἐκ τῶν Φιλουμένου τὸ Μνασέου κλειδίον.* — *Κηκῖδος ὀμφα-* 1
*κίτιδος, ὑποκισῖίδος, σῖυπῖηρίας σῖρογγύλης, ἀκακίας, ῥοῦ τοῦ ἐπὶ
τὰ ὄψα, σιδίων ξηρῶν, σελίνου σπέρματος ἀνὰ γο α΄, ἰξοῦ δρυΐνου
∠ δ΄, ἀμμωνιακοῦ ∠ δ΄, ϖίσσης ξηρᾶς ∠ β, κηροῦ ∠ β΄, ἐλαίου μυρ-
σινίνου ἢ σχινίνου γο δ΄. Δεῖ δὲ τὰς κηκῖδας καὶ τὰ σίδια ἕψειν* 2
οἴνου κυάθοις ἐννέα, μέχρι λειφθῇ τὸ τρίτον μέρος, εἶτα κόψαι καὶ

5. *ϖρέπει* BP. — Ch. 71; l. 8. *γο η΄*] ∠ β΄ A. — Ch. 75; l. 29. *Χρὴ τάς* BP.

σῆσαι πρὸς τὰ λοιπὰ σὺν τῷ οἴνῳ, τὸ δὲ ἀμμωνιακὸν ὄξει λεαίνειν
μέχρι μελιτώδους συστάσεως, τὸν ἰξὸν δὲ μετὰ βραχέος ἐλαίου μα-
λάσσειν, εἶτα τὴν πίσσαν ἅμα καὶ τὸν κηρὸν συντετηκότα μετὰ
τοῦ ὑπολειπομένου ἐλαίου ἐπιχεῖν πᾶσι καὶ λεαίνειν, ἔπειτα κόπτειν
ἐν ὅλμῳ μέχρις ἑνωθῇ.

1 ος'. Ἐκ τῶν Γαληνοῦ ἐπίῤῥιμμα ψῦχον. — Ἐκθλίψαντες ὑγρὸν
ψύχοντός τινος, οἷον θρίδακος ἢ στρύχνου, ἢ ὀξαλίδος ἐμβάλλομεν
μετὰ ἀνδράχνης, εἶτα κόψαντες ἐκπιέζομεν· στήσαντες δὲ τὸ ἀγγεῖον
ἐν ὕδατι ψυχρῷ ἢ χιόνι, μίγνυμεν ἀλφίτου λεπτοῦ ὀλίγον καὶ ἀνα-
2 δεύσαντες ἐπιῤῥιπτοῦμεν. Δεῖ δὲ αὐτὸ συνεχῶς ἀμείβειν, ἄχρις ἂν
ὁ κάμνων αἴσθηται ψύξεως.

οζ'. Περὶ καταπλασμάτων. — Κατάπλασμα τὸ διὰ ζύμης δυνά-
1 μενον διαχέαι τὰ συνεστῶτα. Καὶ ἐκτῆξαι ἱκανώτατα τὸ ἐπίπλασμα
τοῦτο ἐπιτήδειόν ἐστιν· καὶ γὰρ δοθιῆνας ὠφελεῖ καὶ ἐκπυήματα
σχολαίτερον πρὸς τὴν μεταβολὴν ἰόντα, καὶ σκόλοπας ἐξάγει, καὶ
2 σκίῤῥοις ἐπαρκεῖ, καὶ θλάσμασι τοῖς κατὰ πέλματα. Ποιήσεις δὲ
πολυειδεῖς εἰσιν αὐτοῦ· ἢ γὰρ αὐτῷ τῷ ἐλαίῳ συμμαλάττεται, ἐξαρ-
κοῦν τοῦτο πρὸς δοθιῆνας καὶ τὰς σχολαίας ἐκπυήσεις· ἢ καὶ νίτρον
που λεπτὸν συμμίγνυται αὐτῷ, ὅπου δριμυτέρου ἐπιθέματος χρή-
ζομεν ἐπὶ τῶν σφόδρα στερεῶν σκίῤῥων· ἢ ἔστιν ὅτε διαχέοντες
τὴν ζύμην, αὖθις συνιστῶμεν, ἕψοντες αὐτὴν, ἔλαιον ὀλίγον ἢ ἴρι-
3 νον μύρον προσμίξαντες. Ἔστι δὲ τοῦδε καὶ ἄλλος μεταχειρισμός·
ὄξει διαχεῖται ἡ ζύμη ὡς εἶναι χυλοῦ τὸ πάχος· τοῦτο τοῖς κατὰ
4 τὸ ἧπαρ καὶ τὸν σπλῆνα σκίῤῥοις ἐπιτήδειόν ἐστιν. Ἢ κόμη ἀψιν-
θίου, ἢ ἶρις, ἢ ἀβρότονον, ἢ θύμον, ἢ γλήχων, ταῦτα πάντα μετὰ
τῆς ζύμης τοῖς κατὰ τὸν σπλῆνα σκίῤῥοις καὶ τοῖς κατὰ τὸ ἧπαρ
ἐπαρκεῖ.

1 οη'. Περὶ τοῦ ἐξ ἄρτου. — Τὸ δὲ ἐξ ἄρτου κατάπλασμα παναρ-

4. ὑπολειπομένου ex em.; ἀπολειπομένου Codd. — Ch. 76; l. 6. Ἐπίῤῥιμα FN; Ἐπίῤῥημα BP. — Ib. Ἐκθλίβεσθαι F. — 7. ψύχοντα F. — 8. ἄγγος BP. — 10. μέχρις BP. — Ch. 77; l. 13. ἱκανώτατον ἐπίπλασμα Codd. Cf. t. II, p. 344. — 17. τῷ om. Codd. Cf. t. II, p. 345. — 18-19. νίτρον ὀπτοῦ λεπτόν BP. — 23. διαλύεται BFP. Cf. t. II, p. 345. — 25. γλίχωνα Codd.

*κέσ7ατόν ἐστιν· πάσαις γὰρ σχεδὸν ἁρμόζει Φλεγμοναῖς· αἱ ποιή-
σεις δὲ αὐτοῦ πολλαὶ πάνυ· ἢ γὰρ ψυχρῷ ὕδατι βραχεὶς καὶ συνερ-
γασθεὶς ῥοδίνῳ ὁ ἄρτος ἐπιπλάτ7εται· οὕτω δὲ ἐπιτήδειός ἐσ7ι ταῖς
ἐρυσιπελατώδεσι Φλεγμοναῖς· ἢ ἀντὶ τοῦ ὕδατος διὰ ὀξυκράτου
σκευάζεται· μᾶλλον γὰρ οὕτως ἐφαρμότ7ει ταῖς ἐρυσιπελατώδεσι
Φλεγμοναῖς· ἢ θερμῷ ὕδατι βρέχεται καὶ συμμαλάτ7εται ἐλαίῳ,
εἶτα ἐπιπλάτ7εται θερμὸς ὁ ἄρτος ἁρμόζων ταῖς σκληροτέραις καὶ
οὐ ζεούσαις Φλεγμοναῖς· ἢ ἀντὶ τοῦ ἐλαίου τὸ βούτυρον ἐμβαλεῖς,
καὶ ποιήσεις χρησιμώτερον πρὸς τὰς αὐτὰς διαθέσεις. Γίνεται δὲ* 2
*συνεχῶς καὶ τοῦτο· ὕδατι διαλύεται ὁ ἄρτος, ὡς χυλοῦ σύσ7ασιν
σχεῖν, καὶ τούτῳ μίγνυται ἔλαιον ἢ βούτυρον, εἶτα ἕψεται μέχρι
συσ7άσεως· τοῦτο ὧν ἐγὼ οἶδα πάντων ἄμεινον πρὸς Φλεγμονὰς
τὰς ἐπὶ τραύμασι, καὶ πρὸς τὸ τάχιον ἐκπυῆσαι τὰ τούτου δεόμενα.
Ὅπῃ δὲ νεῦρον ἢ νευρῶδές τι διατεθλασμένον, ἐνταῦθα ἐγὼ καὶ* 3
*πίτ7ης ὑγρᾶς βραχὺ μιγνὺς οἶδα μετρίως λυσιτελὲς ἀποΦήνας τὸ
ἐπίπλασμα.* Τοῦτο *δὲ καὶ ταῖς ποδαγρικαῖς Φλεγμοναῖς ἐπιτήδειόν* 4
ἐσ7ιν. Ἄλλη *σκευασία.* Ταῖν *χεροῖν διατρίψαι τὰ ἔνδοθεν τοῦ ἄρτου* 5
*χρὴ τοῦ χθιζοῦ· ἐπειδὰν δὲ ἀμμῶδες γένηται, καὶ μέλιτι ἐμπλάσ-
σειν χρὴ τὸ ἄλευρον καὶ ἕψοντα εἰς τὸ μέτριον συνισ7ᾶν πάχος,
καὶ εἰ Φαίνοιτο ἱκανῶς ἔχειν, ἔλαιον ἐπιχέοντα ἀναμιγνύναι.* Τοῦτο 6
*ἐπιτήδειόν ἐσ7ι ταῖς κατὰ ὑποχόνδρια Φλεγμοναῖς· ἄμεινον δὲ εἰ
τῷ μέλιτι ὀλίγον ὕδωρ μεμιγμένον εἴη· οὕτω γὰρ ἐν τῇ ἑψήσει δια-
χεῖται.* Καὶ *τὸ ἐκ πυρῶν δὲ καὶ πάλης, καὶ τὸ ἐξ ἀλεύρων πυρί-* 7
*νων κατάπλασμα σχεδὸν τὰ αὐτὰ δύναται ποιεῖν τὰς αὐτὰς ἐπιδε-
χόμενον σκευασίας.*

οθʹ. Περὶ *τοῦ ἐκ πιτύρων.* — Τὰ *πίτυρα ὧδε χρὴ σκευάζειν·* 1

1. *ἁρμότ7ει* A. — 4-6. *ἢ..... Φλεγμοναῖς* om. BFP. — 7. *εἶτα οὕτως ἐπιπλ.* BP. — 8. *ἢ.... ἐμϐ.*] Hæc bis exhibent BP, et hic et ante *ἢ θ.* (l. 6). — Ib. *ἐμϐάλῃς* F; *ἐμϐάλλοις* BP hic; *ἐμϐάλλεις* altero loco. — 9. *ποιεῖς* A. — 10-11. *ὕδατι.... τούτῳ* e LN, *Coll. med.* (t. II, p. 346) Aët.; om. BFP. — 12-13. *τὰς Φλεγμ. τάς* A; *Φλεγμ.* BP. — 16. Τοῦτο *δέ*] Ἀλλά A. — 18. *αὐχμῶδες* A. — 19. *δεῖ* A. — 21. *ὑποχόνδριον* A. — 22. *οὕτω* Aët.; *τό* Codd. Cf. t. II, p. 347. — 24. *δύναιτο* BP. — Ch. 79; l. 26. *οὕτω* BP. — Ib. *παρασκευάζειν* A.

*πολλάκις πάλλειν αὐτὰ προσήκει ὡς λεπτότατα γενέσθαι, ἢ ἐν ὅλμῳ
κόψαντα καὶ διασήσαντα τὸ αὐτὸ ποιεῖν· χρῆσθαι δὲ αὐτοῖς ἐπὶ
σκίῤῥων πάντῃ τοῦ τε ἄλλου σώματος συνισταμένων, καὶ ἐπὶ ἥπα-
τος καὶ σπληνός· παρασκευάζειν δὲ αὐτὸ διὰ ὀξυμέλιτος, ἢ καὶ τοῦ
2 ἀμμωνιακοῦ μιγνύντας καὶ θερμὸν ἐπιπλάττοντας. Λῷον δὲ ἂν εἴη
εἴ τις ἐξ ἑτέρου ἕτερον ἐπιθείη, ὡς μὴ ἐκλείπειν τὴν θάλψιν ποτέ.
3 Καὶ ὁπότε δὲ οἱ ὄρχεις φλεγμαίνοιεν, ὠφελιμώτατον γίνεται τοῦτο·
4 σκευαζέσθω δὲ χωρὶς ὄξους. Ἁρμόζοι δὲ ἂν τὸ κατάπλασμα τοῦτο
5 καὶ δοθιῆσι καὶ τοῖς ἄλλοις φύμασι τοῖς σκληροῖς. Πάνυ δὲ καὶ
πρὸς τὰ ἰοβόλα συμφέρει ὄξει δευόμενα τὰ πίτυρα ἐξ ἑτέρων ἕτερα
ἐπιτιθέμενα.*

1 *π'. Περὶ τοῦ ἐκ σύκων.* — *Πολυειδεστάτη ἐστὶ τοῦ ἐπιπλάσματος
τοῦδε ἡ μεταχείρισις καὶ ἐπαρκὴς εἰς πολλά· ἤτοι γὰρ εὖ μάλα
κόπτεται ὡς μηδὲ ὁτιοῦν ἀργὸν ἀφεῖσθαι μέρος, μήτε οὖν αὐτοῦ τοῦ
σύκου, μήτε, εἰς ὅσον ἀνυστὸν, τοῦ σπέρματος, καὶ τῷ οὕτω πε-
ποιημένῳ προσηνείας ἕνεκα μύρου ἰρίνου οὐ πολὺ μίγνυται αὐτό.
2 Ποιεῖ δὲ πρὸς τὰς σκληρότητας τῶν νεύρων, καὶ τὰ ἠγκυλωμένα
τῶν ἄρθρων, καὶ τὰ πέρα τοῦ μέτρου ἐκτεταμένα, καὶ πρὸς σκίῤ-
ῥους, καὶ μάλιστα τοὺς τῶν σπληνῶν· ὠφελεῖ δὲ καὶ τοὺς τοῦ
3 ἥπατος. Προσλαβὸν δὲ νίτρον ὀλίγον ῥήττει τε κόλπους καὶ σκόλο-
4 πας ἀνάγει. Εἰ δὲ ὁμοίως κοπείη τὰ σῦκα καὶ προσλάβοι γλήχωνος
ἢ ὀριγάνου, ἢ θύμου κόμης, ἢ ἀψινθίου, εἰς τὸ λεπτότατον εἰργα-
σμένα, ὑδρωπικοῖς ἁρμόττει καταπλασσόμενον κατά τε τῶν ὑπο-
χονδρίων πάντων καὶ τῆς ὀσφύος καὶ τοῦ νώτου παντός. Ἄλλη
5 ποίησις. Ἕψεται ὅσον εὐπετῶς διαχεῖσθαι μάλα λίαν τὰ σῦκα, κἄ-
πειτα λειοῦται ὁμοῦ τινι μέρει τοῦ ὕδατος ἐν ᾧ ἥψηται, εἶτα κρίθι-
νον ἄλευρον, ἢ πύρινον, ἢ καὶ ἄρτος μίγνυται αὐτοῖς καὶ συνεργά-*

1. *πάλιν* BFP. — Ib. *ἤ* e LN *Coll. med.* (t. II, p. 348); om. Codd. gr. — 2. *κόψαντα* Aët.; *κόπτοντα* Codd. — 7. *γίνεται* om. A. — 8. *Ἁρμόζει δὲ τό* A. — 10. *τὰ πίτυρα* om. A. — Ch. 80; l. 13. *ἤτοι* om. A. — 13-14. *κόπτεται γὰρ εὖ μάλα* A. — 16. *αὐτῷ* Codd. — 17. *δὲ καὶ πρός* BP. — 20. *δὲ καὶ νίτρον* BP. — Ib. *τε*] *τούς* BP; *τε τούς* A. — 27. *ἢ ἄρτος* BP.

ζεται ὡς μάλιστα, καὶ ἕψεται αὖθις ἄχρι συστάσεως καταπλάσματος.
Ἁρμόζει δὲ φύμασι τοῖς μὴ ῥαδίως ϖεπαινομένοις καὶ ϖαρωτίσιν 6
ἃς ἐκπυΐσκεσθαι χρὴ καὶ δοθιῆσιν. Λίπει δὲ εἴ τις ἐθέλει χρῆσθαι, 7
βούτυρον μιγνύει· εἰ δὲ καὶ ϖηγάνου φύλλα τριφθέντα λεῖα μιχθείη,
τὰς ἐν τοῖς ἐντέροις ὀδύνας ὑπὸ ϖνεύματος γινομένας ὀνίνησιν·
λίπος δὲ μιγνύσθω ἔλαιον ἔνθα κύμινον ἢ ϖήγανον ἐνήψηται.

ϖα'. Ἄκοπα. — Ἄκοπον τὸ δεκάμυρον. Νάρδου στάχυος, φύλ- 1
λου, εὐφορϐίου, ϖεπέρεως, κόστου, ἀδάρκης ἀνὰ γο α', μαστίχης
γο α', ὀποϐαλσάμου γο ϛ', ναρδίνου ℵ α', κηροῦ γο γ'.

ϖϐ'. Τὸ ϖεντάμυρον. — Στύρακος γο α', μαστίχης γο β', κη- 1
ροῦ λευκοῦ γο γ', ὀποϐαλσάμου γο δ', ναρδίνου γο ε'.

ϖγ'. Ἄκοπον χρῖσμα τὸ διὰ καστορίου ϖρὸς ϖαραλύσεις καὶ
τὰς κεχρονισμένας διαθέσεις. — Οἰσύπου γο γ', τερμινθίνης γο γ', 1
μυελοῦ ἐλαφείου γο δ', ἀμμωνιακοῦ, χαλϐάνης, καστορίου, ϖεπέ-
ρεως λευκοῦ, εὐφορϐίου, ἀδάρκης, νίτρου ἀφροῦ, ὀποπάνακος ἀνὰ
γο β', ἐλαίου στυρακίνου γο δ', ἐλαίου ἰρίνου γο ϑ', ἐλαίου ϖα-
λαιοῦ γο δ', κηροῦ ℵ α'. Σκεύαζε. 2

ϖδ'. Ἄλλο ἁπλοῦν. — Βούτυρον, κολοφωνία, κηρὸς λευκὸς νέος 1
ἴσα τῷ σταθμῷ τηκόμενα.

ϖε'. Πρὸς τὰς κατεψυγμένας διὰ γῆρας ἕξεις. — Λουόμενος 1
ῥύμματι ϖυροῦντι χρήσθω τῷδε. Καλαμίνθην καὶ τὸ σάμψυχον καὶ 2
τὸ ὕσσωπον καὶ δαφνίδας, καὶ τὴν τῶν στεφανωμάτων λιϐανωτίδα,
καὶ λίθον ϖυρίτην, καὶ ἅλας, καὶ τρύγα κεκαυμένην, καὶ νίτρον,
καὶ κίσηριν τὸ κατὰ λόγον ἑκάστου, καὶ βραχὺ νάπυος καὶ τῆς
ἀγρίας σταφίδος καὶ κόκκου κνιδίου. Ἀπὸ δὲ τοῦ λουτροῦ ἀκόπῳ 3
χρήσθω τῷδε.

4. *μιγνύειν* Codd. Cf. t. II, p. 355. — 6. *ἢ ἔλαιον* Codd. — Ch. 81; l. 9. *γο ϛ'*] *γο α'* BP. — Ib. *ναρδίνου* L Aët. Paul. *νάρδου* Codd. gr. — Ib. *γο γ'*] *γο ϛ'* A. — Ch. 82; l. 10. *γο α'*] *γο β'* BP. — 11. *ναρδίνου* L Aët.; *νάρδου* Codd. gr. — Ch. 83; l. 13. *Οἰσύπου* Gal.; *Ὑσώπου* BFP; *Ὑσσώπου* A. — 14. *καστορείου* A. — 15-16. *ἀνὰ γο α'* BP. — 16. *ἐλαίου* ante *στυρ.* om. A. — Ib. *γο δ'* e LN; *γο α'* Codd. gr. Gal. — 17. *κ. ℵ ϐ'* BP. — Ch. 84; l. 18. *κολοφ.* e N; *ῥητίνη κολοφωνία* A; *ῥητίνη ἢ κολοφωνία* F; *ῥητίνην ἢ κολοφωνίαν* (*καλλιφ.* P) BP. — 19. *ἰσόσταθμα* A. — Ch. 85; l. 25. *κόκκων κνιδίων* BP.

1 πϛ'. Ἄκοπον μετὰ λουτρόν. — Μύρον νάρδινον καὶ ἀμαράκινον
καὶ κομμαγηνὸν ἑκάσ7ου μνᾶς τέταρτον, σικύου ἀγρίου ῥίζης καὶ
βρυωνίας ἑκατέρου μνᾶς ἥμισυ, κάχρυ, καὶ πύρεθρον, καὶ εὐφόρ-
βιον καὶ ζιγγίβερι καὶ ἀλκυόνιον ξηρὸν καὶ κόσ7ον ἄγοντα ἀνὰ
∠δ', πέπερι δὲ μακρὸν καὶ φύλλα ξηρὰ ῥοδοδάφνης ἑκάτερα ∠β',
2 μίαν δὲ θείου ἀπύρου καὶ μίαν χυλοῦ θαψίας. Λείοις πᾶσιν εὖ
3 μάλα τὰ μύρα καταχεῖται καὶ ἐπὶ πολὺ συντρίβεται. Τούτῳ γε καὶ
πάρετοί τινες γενόμενοι κατέσ7ησαν.

1 πζ'. Πρὸς ἄχροιαν καὶ πελιώματα. — Καλόν ἐσ7ιν ἔλαιον ἐνε-
ψηθείσης αὐτῷ βρυωνίας ῥίζης ἐπὶ μακρόν· τοῦτο καὶ τετανὸν ἐργά-
2 ζεται τὸ σῶμα. — Αἴρει δὲ τὰ πελιώματα βολβῶν λείων ∠ϛ',
3 πνεύμονος τράγου κεκαυμένου ∠ϛ', σ7ρουθίου ∠η'. Τοῦτο κατά-
πλασσε προπυριῶν ἀφεψήματι ῥαφάνων ἢ ἀψινθίῳ.

1 πη'. Ἐκ τῶν Ῥούφου χρῖσμα ἐντεῖνον ἐνεργότερον. — Σμύρ-
νης, θείου, κνήκου τοῦ ἐντὸς ἀνὰ ∠α', μελανθίου ∠β', καὶ πυρέ-
θρου ἄγον ὀβολοὺς β', καὶ κόκκους πεπέρεως μέλανος λ', κνιδίους
2 δὲ εἴκοσι καθαρούς. Κόψας ὁμοῦ λέαινε ἅμα σκίλλῃ καταγούσῃ ∠α'.
3 Ἐπὴν δὲ καλῶς ἔχῃ, τήξας κηροῦ βραχὺ συν ἐλαίῳ κικίνῳ καὶ μέ-
4 λιτι ἐπιχέων τρίβε. Πλῆθος δὲ ἔσ7ω τοῦ μέλιτος καὶ τοῦ ἐλαίου
5 ἑκατέρου κο. α'. Ἔνιοι δὲ τῷ χρίσματι τούτῳ καὶ τῆς ἕδρας παρά-
π7ονται, πρὸ δὲ τῆς μίξεως, ὀθόνῃ πρὸς τὸ ἀκριβῶς ἐκμάσ-
σεσθαι.

1 πθ'. Ἰσχιαδικόν. — Κυπρίνου ἐλαίου, ἀξουγγίου, ἐλαίου πα-
λαιοῦ ἀνα λ α', κηροῦ γο ϛ', θείου ἀπύρου ∠ιε', ἀδάρκης ∠ι',
νίτρου ∠ιβ', πεπέρεως ∠ιϛ', πυρέθρου ∠ι', πηγάνου ἁπαλοῦ ∠η',
2 ὀριγάνου ∠ιϛ', δαφνίδων ∠ιβ', εὐφορβίου ∠ιβ'. Τὰ τηκτὰ κατὰ
τῶν ξηρῶν.

ϟ'. Τὸ διὰ κισσοῦ ποιοῦν πρὸς κόπους καὶ πᾶσαν νεύρων ἢ
1 μυῶν συμπάθειαν. — Τήλεως λ α', δαφνίδων κόκκοι ρ', κυπαρίσσου

Ch. 86; l. 1. μετὰ τὸ λ. BP. — 3. ἑκατέρου] ἀνά BP. — Ch. 87; l. 11. βολβῶν] κλαῶνα BP. — Ch. 88; l. 20. ἑκατέρου] ἀνά BP. — Ch. 89; l. 23. Πρὸς ἰσχιαδικούς A. — 25. ∠ιϛ'] ∠ϛ' AF. — Ib. ∠η'] ∠ιη' A.

σφαιρία κ′, βράθυος ℔ α′, λιβανωτίδος ℔ α′, ἐλαίου σαβίνου ἢ παλαιοῦ ℔ ι′, κηροῦ ℔ α′, τερμινθίνης γο ϛ′, πιτυΐνης ℔ α′, ὀποῦ κισσοῦ γο δ′, ὕδατος ξ γ′. Τὰς βοτάνας κόψας βρέχε εἰς ὕδωρ ἡμέρας 2
τρεῖς, εἶτα ἐπεμβαλὼν τὸ ἔλαιον ἕψε ἀρκούντως, καὶ διυλίσας ἐπέμβαλε τὰ τηκτὰ, τὸν δὲ ὀπὸν τοῦ κισσοῦ λείου μετὰ ὄξους καὶ ψύξας κατάχει τὰ τηκτὰ εἰς θυίαν καὶ ἀνελόμενος χρῶ.

Ϟα′. Ἰσχιαδικὸν σύγχρισμα δραστικόν. — Εὐφορβίου γο ε′, πε- 1
πέρεως γο ϛ′, ὀποπάνακος γο ϛ′, ἀδάρκης γο ε′, καστορίου ℔ α′, σαμψύχου γο β′, κυκλοπάνακος γο ϛ′, στρουθίου γο δ′, πυρέθρου γο δ′, ἐλαίου κυπρίνου ℔ δ′, ἐλαίου ἰρίνου ℔ γ′, ἐλαίου σικυωνίου ℔ γ′, ἐλαίου δαφνίνου ℔ γ′, κηροῦ ℔ β′, οἰσύπου ὑγροῦ, τερμινθίνης
ἀνὰ ℔ β′. — Ἰσχιαδικὸν παρὰ τοῦ Εὐτονίου ἀρχιατροῦ.] Ἐλαίου 2
παλαιοῦ ξ α′, σικύου ἀγρίου σφαιρία ε′· ἕψε ἐν τῷ ἐλαίῳ ἕως φρυγῶσιν· κηροῦ γο ϛ′, πυρέθρου γο α′, θείου ἀπύρου γο ϛ′, τερμινθίνης γο ϛ′, εὐφορβίου γο β′, σταφίδος ἀγρίας γο α′, κάχρυος γο α′, θαψίας γο α′, δικτάμνου γο β′, ἀδάρκης γο α′.

Ϟβ′. Τὸ μετασυγκριτικόν. — Ὀποπάνακος, ἀμμωνιακοῦ, καστο- 1
ρίου, τερμινθίνης, οἰσύπου, εὐφορβίου, χαλβάνης, ἀδάρκης ἀνὰ γο β′, πεπέρεως λευκοῦ, μυελοῦ ἐλαφείου ἀνὰ γο α′, δαφνίνου, στυρακίνου ἀνὰ γο δ′, ἰρίνου γο ϛ′, κηροῦ, ἐλαίου παλαιοῦ, ἀμα-
ρακίνου ἀνὰ ℔ α′. Τούτων δὲ τὸν μὲν ὀποπάνακα ὄξει δεῖ λειο- 2
τριβεῖν ἐν θυίᾳ μέχρι γλοιοῦ πάχος ἔχῃ, τὸν δὲ κηρὸν καὶ τὸ ἔλαιον τήξας πρόσβαλε τὸ ἀμμωνιακὸν σεσησμένον, εἶτα τὰ λοιπὰ τῶν τηκτῶν, μετὰ τοῦτο δὲ, ἀρθείσης ἀπὸ τοῦ πυρὸς τῆς χύτρας, προσέμπασσε τὰ ξηρὰ κατὰ τῶν ἐν τῇ θυίᾳ καὶ συνεκλεάνας ἀπόθου.

Ϟγ′. Τροχίσκοι. — Ὁ ἀνδρώνειος τροχίσκος. Χαλκάνθου ∠β′, 1

1. βράθυ Codd. — Ib. λιβάνωτίδος LN; λιβανέας Codd. gr. — 2. ι′] α′ BP. — 5. ὄξους Aët.; τάχους Codd. — Ch. 91; l. 8. ἀδ. γο γ′ BP. — 10. σικινίου BP. — 11. οἰσύπου LN; ὑσώπου F; ὑσσώπου ABP. — Ib. ὑγροῦ] ὑγρᾶς ῥητίνης BP. — Ib. τερμ. om. BP. — 12. ἀρχιητροῦ BFP. — 13. σφαιρία e LN qui habent *poma*; σφαιρίων BFP; τῶν σφαιρίων A. — 14. θ. ἀπ. γο γ′ BP. — Ch. 92; l. 18. οἰσύπου LN; ὑσώπου F; ὑσσώπου BP.

σμύρνης ∠β', λιβάνου ∠δ', σχισῆς ∠δ', σιδίων ∠η', ἀρισολο-
2 χίας ∠η'. Οἴνῳ αὐσηρῷ ἀναλαμβάνων χρῶ, ὄξει διαλύων δὲ ἐπί-
χριε.
1 ϟδ'. Ὁ Μούσα. — Στυπηρίας σχισῆς, ἀλόης, σμύρνης ἀνὰ
∠ς', κρόκου ∠γ', κροκομάγματος ∠γ', χαλκοῦ κεκαυμένου ∠ς',
2 χαλκάνθου ∠ς', ῥοιᾶς κυτίνων ∠ς'. Οἰνομέλιτι ἀναλάμβανε.
ϟε'. Ὁ Ἄρης πρὸς ὑπώπια, λειχῆνας, σπίλους, ὑπερσαρκώ-
1 ματα, σύριγγας, καὶ ἄλλα πολλά. — Σινωπίδος, ἰοῦ ξυσοῦ, λιβάνου
ἄῤῥενος, συπηρίας σχισῆς ἴσα, ὄξους τὸ ἀρκοῦν.
ϟς'. Ὁ τοῦ Ἡρᾶ πρὸς νομὰς πάσας, μάλισα δὲ τὰς ἐν αἰδοίοις
1-2 καὶ σόματι. — Κρόκου ∠η', συπηρίας ∠ρ', σμύρνης ∠η'. Ἄνιε
ὀξυμέλιτι καὶ πύγμα βρέχων χρῶ.
1 ϟζ'. Τροχίσκος ὁ διὰ χάρτου πρὸς νομάς. — Χάρτου κεκαυ-
2 μένου ∠λβ', τιτάνου, ἀρσενικοῦ, σανδαράκης ἀνὰ γο α'. Ἀρνο-
γλώσσου χυλῷ ἀναλάμβανε.
1 ϟη'. Τροχίσκος πρὸς ἀλφοὺς, λεύκας, λέπρας, λειχῆνας. — Ἐλ-
λεβόρου λευκοῦ, πεπέρεως μακροῦ, κάχρυος, ἀλκυονίου, θείου ἀπύ-
ρου, σανδαράκης, καλάμου ἀρωματικοῦ, ἀδάρκης ἴσα λεῖα σήσας ἐν
ὄξει λείου, καὶ ποίει τροχίσκους, ἀνατρίψας δὲ τὰ μέρη ῥάκει καὶ
χρίσας ἔα ἡλιοῦσθαι ἐπὶ πολύ.
1 ϟθ'. Τροχίσκος ὁ κροκώδης. — Σμύρνης ∠β', κασορίου ∠β',
κρόκου ∠γ', ὀποῦ μήκωνος, σελίνου σπέρματος, ὑσσώπου, σύ-
2 ρακος ἀνὰ ∠α', ὑοσκυάμου σπέρματος ἀνὰ ∠ς'. Ὕδατι ἀναλαβὼν
ποίει τροχίσκους τριωβολιαίους.
1 ρ'. Λειχηνικὸς τροχίσκος. — Χαλκίτεως, μίσυος, θείου ἀπύ-
ρου, χαλκάνθου, λιβάνου ἀνὰ ∠δ', συκῆς φύλλων χλωρῶν ∠ς'.
2 Ὄξει ἀναλάμβανε.

1. λιβ., σχ. ἀνὰ χ β' BP. — Ib. σιδ. ∠η' e LN: σιδ. χ β' BP; σάχον F. — 2. δέ om. BP. — Ch. 94; l. 4. Ἄλλο ὁ M. A. — Ch. 95; l. 7. ὑπώπυα BP; ὑπόπυα F 1ª m.; ὑπόπια 2ª m. — Ch. 96; l. 10. Ἡρᾶ ex em. (Cf. t. II, p. 895-896); Ἥρα A 1ª m.; ἥρης A 2ª m. F; ἥρης P; ἄρης B. — 11. ∠ρ'] ∠β' A. — Ib. ∠β' A. — Ch. 98; l. 19. δέ om. A. — Ch. 99; l. 21. ∠β'] ∠α' BP. — Ib. ∠β'] ∠ι' BP. — 23. ∠ς'] ∠γ' BP. — Ch. 100; l. 27. Οἴνῳ BP.

ρα΄. Τροχίσκος πρὸς δυσεντερικοὺς, αἱμοπῖοϊκοὺς, ῥοῦν γυναι-
κεῖον. — Ὑποκισῖίδος χυλοῦ, γῆς σαμίας, κηκῖδος ὀμφακίτιδος, 1
ἀκακίας κιῤῥᾶς ἀνὰ ∠η΄. Ἀναλάμβανε ὕδατι ὀμβρίῳ· ἡ δὲ χρῆσις· 2
ἐπὶ μὲν δυσεντερικῶν ἐνίεται μετὰ χυλοῦ ὀρύζης, ἢ φακῆς, ἤ τινος
τοιούτου· ἐπὶ δὲ αἱμοπῖοϊκῶν ἐν κοτύλῃ ψυχροῦ ὕδατος τοῦ φαρμά-
κου ∠α΄· ἐπὶ δὲ ῥοῦ γυναικείου ὁμοίως ἐνίεται μετά τινος χυλοῦ, ἢ
προσῖίθεται ἐν κροκύδι ἐρίου ἀνεθεὶς χυλῷ σῖρύχνου, ἢ πολυγό-
νου, ἢ ἀρνογλώσσου, ἤ τινος τοιούτου.

ρϐ΄. Τροχίσκος ὁ Πασίωνος. — Λεπίδος χαλκοῦ ∠ιϐ΄, χαλκοῦ 1
κεκαυμένου, ἁλὸς ἀμμωνιακοῦ, σῖυπῖηρίας σῖρογγύλης, ἰοῦ ξυσῖοῦ,
λιϐάνου ἀνὰ ∠η΄. Τρίϐε χαλκὸν, ἅλας, ἰὸν, λεπίδα, σῖυπῖηρίαν ὄξος 2
ἐπιϐαλὼν ἐν ἡλίῳ· ὅταν δὲ παντελῶς λειωθῇ, ἐπίϐαλλε τὸν λίϐα-
νον, καὶ τρίψας ἱκανῶς, ὅταν συσῖραφῇ, ποίει τροχίσκους· ἐπὶ δὲ
τῆς χρήσεως ὄξει διαλύων ἐπίχριε.

ργ΄. Ποδαγρικὸς ὁ Πρόκλου· ἰᾶται ποδάγραν καὶ ἰσχιάδα καὶ
καθόλου πάσας ἀρθρίτιδας καὶ πόνους πάντας ἐπὶ ἐνιαυτὸν πινόμε-
νος, καὶ πᾶσαν αἴσθησιν ἀκριϐεσῖέραν ἀπεργάζεται, καθαίρων
πράως διὰ οὔρων καὶ τὸ ὅλον σῶμα ὑγιεινότερον κατασκευάζει·
ἰᾶται καὶ ἐπιληψίας, σκίῤῥους ἥπατος καὶ σπληνός. — Χαμαίδρυος 1
γο θ΄, κενταυρείου λεπῖοῦ ἐγκάρπου γο η΄, ἀρισῖολοχίας μακρᾶς
ὀρεινῆς γο ζ΄, γεντιανῆς ἀτρήτου γο ϛ΄, ὑπερικοῦ γο ε΄, πετροσε-
λίνου γο δ΄, μήου γο γ΄, ἀγαρικοῦ γο β΄, ῥοῦ γο α΄, μέλιτος κο. β΄.
Κόπῖε καὶ σῆθε ἰδίᾳ ἕκασῖον, καὶ μίξας μάλασσε τῷ μέλιτι, καὶ 2
κόψας πλάσσε τροχίσκους ἀνὰ ∠α΄. Ἡ δὲ χρῆσις καὶ πόσις εὐπέπῖῳ 3
περὶ ὥραν τρίτην μετὰ τὸ διακεχωρηκέναι τὴν γασῖέρα· ἀνιέσθω δὲ
ὕδατος θερμοῦ κυάθοις δυσὶ, καὶ λαϐὼν βαδιζέτω ἢ αἰωρείσθω. Ἡ δὲ 4

Ch. 101; l. 3. ∠ϐ΄ A. — Ib. δέ om. ABP. — 5. ἐν κοτύλῃ e N Alex. Trall.; ἐν κυάθῳ Codd. gr. — Ch. 102; l. 11-12. ἅλας..... ἐπιϐαλών] καὶ τὰ ἄλλα BP. — 12. ὅταν... ἐπίϐαλλε] ὕσῖερον δέ BP. — 13. τρίψας... συσῖραφῇ om. BP. — Ch. 103; l. 20. κενταυρίου BFP. — Ib. λεπῖοῦ e L qui habet *tenui*: λευκοῦ Codd. gr. — Ib. μακρᾶς om. BP. — 22. γο δ΄ Paul.; γο γ΄ Codd. — Ib. μήου γο γ΄ Paul.; ῥοῦ γο β΄ BFP; ῥοῦ γο α΄ A. — Ib. γο β΄ Paul.; γο α΄ Codd. — Ib. ῥοῦ γο α΄ Paul.; om. Codd. — 23. Κόψας σήσας BP.

ἀρχὴ τῆς ϖόσεως μὴ ἐν θέρει γενέσθω, ἀλλὰ ἔν τινι τῶν ἄλλων
5 ὡρῶν. Διάσ7ημα δὲ ϖρὸς τὸ λουτρὸν ἢ τὴν τροφὴν ὧραι τρεῖς ἔσ7ωσαν· ἀπεπ7ήσαντι δὲ ϖάντως φυλακτέα μὴν ἡ ϖόσις· ἀναπληρούσθω δὲ ὁ τῶν τοῦ ἐνιαυτοῦ ἡμερῶν ἀριθμός.
6 Ἔσ7ω δὲ ἡ δίαιτα εὔχυμος, εὔπεπ7ος, μὴ ϖλησμονὴν ἐργαζομένη· κράμβην δὲ ἐσθίειν τοῖς ἀρθριτικοῖς ϖαραινῶ· ἔχει γάρ τι ἀντιπαθές· οἴνῳ δὲ συμμέτρῳ χρῆσθαι, καὶ συμμέτρως κεκραμένῳ μετὰ τὴν τροφήν.

ρδ'. Ὁ διὰ ἠλέκτρου τροχίσκος· ϖοιεῖ ϖρὸς αἱμοπ7οϊκοὺς, βήττοντας χρονίως, φθισικοὺς, ἀναφορικοὺς, ἐμπυϊκοὺς, κοιλιακοὺς, δυσεντερικοὺς, ἐμπνευματουμένους· ἔσ7ι δὲ καὶ ὠτικὴ ἀγαθή. —
1 Ψυλλίου κεκαθαρμένου ∠μ'· οἱ δὲ κ'· ἰλλυρικῆς, μασ7ίχης, ἠλέκ-
2 τρου ῥινήματος, κρόκου ἀνὰ ∠λ', ὀπίου ∠ιε'. Τὸ ψύλλιον βαλὼν εἰς ὕδωρ θερμὸν ἔα βρέχεσθαι, καὶ ὅταν γλίσχρον καὶ κολλῶδες γένηται τὸ ὕδωρ, ἔκθλιβε τὸ ὑγρὸν, ἐκ τούτου σκευάσας τὸ φάρμακον ἀνάπλατ7ε τροχίσκους καὶ δίδου τριώβολον εἰς ὕπνον ἀπερχομένοις· ἔσ7ωσαν δὲ τοῦ ὕδατος ℥ γ'.

ρε'. Τροχίσκος ὁ διὰ τῆς ἀκακίας ϖρὸς ϖοδαγρικοὺς καὶ ἀρθριτικοὺς καὶ φλεγμονὰς καὶ τὰ κνησμώδη ϖάντα κατὰ ἀρχὰς κα-
1 ταχριόμενος. — Ἀκακίας μελαίνης καὶ ξανθῆς ἀνὰ γο δ', κόλλης τεκτονικῆς διαυγοῦς· ἄμεινον δὲ ἰχθυοκόλλης· γο δ', ἀμμωνιακοῦ θυμιάματος γο β', ἀλόης γο β', γλαυκίου γο β', λιβανωτοῦ ἄρ-
2 ρενος, ἐλλεβόρου λευκοῦ καὶ μέλανος ἀνὰ γο α'. Ὄξει σκιλλιτικῷ ἀναλάμβανε καὶ ϖοίει τροχίσκους· ἐπὶ δὲ τῆς χρείας τῷ αὐτῷ ὄξει ἄνιε καὶ κατάχριε καὶ ἔα ξηραίνεσθαι καὶ ἀπόπεμπε εἰς τὸ βαλανεῖον, καὶ ὅταν ἐπανέλθῃ, τῇ αὐτῇ χρήσει χρῶ.

1 ρϛ'. Τροχίσκος ἡμικρανικός. — Καρδάμου σπέρματος ∠δ', ϖη-
2 γάνου φύλλων χλωρῶν ∠δ', ὀπίου ∠α'. Ὄξει.

1. γινέσθω A. — 3. μέν Codd. — 3-4. ἀναπλ. ὁ BFP. — Ch. 104; l. 8. ϖοιῶν A — 10. ἐμπνευματωμ. BFP. — 11. οἱ δὲ κ' om. BP. — 12. ∠λ' LN Gal.; ∠α' Codd. gr. — Ib. Τό om. AF. — 13. βραχέσθαι B. — 14. τούτων AF. — Ch. 105; l. 18. φλεγμονάς] ϖρὸς ἄλλα τινὰ ϖάθη A. — Ib. ἀλλὰ καὶ ϖρὸς τά A. — Ib. ϖάντα οὗτος καλός A. — 21. λιβάνου τοῦ ἀρρ. A. — Ch. 106; l. 26. Καρδαμώμου ABP. — 27. ∠α'] ∠δ' BFP. — Ib. Ὄξει ἀνάπλατ7ε BP.

ρζ'. Ξηρία. — Ξηρίον ἀπουλωτικόν. Ὀστρέων κεκαυμένων ∠β', 1
μάννης ∠α', καδμείας ὀβολοὺς δ'. Λείοις χρῶ καὶ ϖρὸς νομάς. 2

ρη'. Ἄλλο ἀπουλωτικὸν ϖοιοῦν καὶ ϖρὸς τὰ κακοήθη καὶ ϖρὸς
νομάς. — Πίτυος φλοιοῦ ∠ς', κέρατος ἐλαφείου κεκαυμένου ∠δ', ἰοῦ 1
ξυστοῦ ∠β'. Λείοις χρῶ. 2

ρθ'. Κεφαλικόν· ἀφίστησι λεπίδας, ἀνάγει ὀστᾶ διεφθορότα
καὶ τὰ κοῖλα σαρκοῖ. — Ἴρεως ∠δ', ϖάνακος ∠δ', ἀριστολοχίας ∠β', 1
λιβάνου ∠β', μάννης ∠β'. Πάντα κόψας καὶ σήσας χρῶ κατὰ ἰδίαν 2
καὶ μετὰ μέλιτος.

ρι'. Ἄλλο ἐσχαρωτικὸν καὶ τύλων ἐκκοπτικὸν καταπασσόμενον
καὶ ϖροστριβόμενον ϖυρῆνι μήλης· ἔστι δὲ καὶ καταστατικόν.
— Χαλκίτεως ὠμῆς ∠η', καδμείας ∠δ'. Ἀναλαμβάνεται ὄξει δριμυ- 1-2
τάτῳ καὶ ξηραίνεται καὶ λεαίνεται.

ρια'. Σηπτὸν ἀνώδυνον. — Ἀρσενικοῦ, χαλκίτεως, σανδαράκης 1
ἀνὰ ∠δ', τιτάνου ∠η'.

ριβ'. Ἡ ῥοδιακὴ καταστέλλουσα τὰ ὑπερσαρκοῦντα. — Κηκῖδος 1
ὀμφακίτιδος ∠θ', λεπίδος χαλκοῦ ∠ε', χαλκάνθου ∠γ', στυπτηρίας
σχιστῆς ∠δ'. Τὴν ἡμίσειαν κηκῖδα καῦσον καὶ σβέσον οἴνῳ. 2

ριγ'. Τὸ διὰ χάρτου. — Χάρτου κεκαυμένου γο ς', ἀρσενικοῦ, 1
σανδαράκης, τιτάνου ἀνὰ ∠δ'. Εἰ δὲ τροχίσκους ϖοιῆσαι βούλει, 2
χυλῷ ἀρνογλώσσου ἢ οἴνῳ αὐστηρῷ ἀναλάμβανε.

ριδ'. Πρὸς νομάς. — Χαλκίτεως, μίσυος, λεπίδος, κηκῖδος ἴσα. 1

ριε'. Καυστικὸν ἄδηκτον, ἀλλοτριοῦν ϖαραχρῆμα. — Ἀσβέστου 1
γο α', σφέκλης ∠α', νίτρου γο ς'. Λεάνας ἕψε ἐν στακτῇ συκίνῃ 2
ἢ ὄξει ἕως δὶς ἢ τρὶς ζέσῃ· ἐχέτω δὲ ϖρὸ τοῦ ἕψεσθαι γλυκέος ϖά-
χος. Εἰ δὲ ἐμπλαστῶδες βούλει γενέσθαι, ἰξῷ ἀναλάμβανε ἀνεθέντι 3
ἀτμῷ ὕδατος θερμοῦ.

Ch. 107; l. 1. Ξηρία om. BP. — Ib. Ξηρίον om. A. — Ib. ἐπουλωτικόν BP; ἀπουλωτικά A. — 2. ὀβολοί A. — Ib. Λείου BP. — Ch. 108; l. 3. ἐπουλωτικόν BP. — Ib. καί post ϖοιοῦν om. BP. — 4. κέρατος ἐλαφείου κεκ. ∠δ' om. B. — 5. ∠β'] ∠α' BP. — Ch. 113; l. 20. ἀνὰ γο δ' BP. — Ch. 115; l. 24. σφέκλης Aët.; φέκλης Codd. — 25. ἢ ὄξει c L N; ὄξει Codd. gr.

ρϛ'. Ἀνθηρὰ ἐκ τῶν Φιλουμένου πρὸς τὰ ἐν τῷ σΊόματι ἕλκη.
1 — Σανδαράκης, ἴρεως ἀνὰ ∠δ', κυπέρου ∠η', κρόκου, σμύρνης,
σΊυπΊηρίας σχισΊῆς ἀνὰ ∠ϐ', ῥόδων ἄνθους ἀνὰ ∠α'.

1 ριζ'. Κολλύρια. — Τὸ λιϐιανόν. ΣΊίμμεως κεκαυμένου καὶ πε-
πλυμένου ∠ιϐ', καδμείας κεκαυμένης καὶ πεπλυμένης ∠ιϐ', ψιμυθίου
κεκαυμένου καὶ πεπλυμένου ∠ιϛ', ἀμύλου ∠ιϛ', σποδίου ∠η', ἀσΊέ-
ρος σαμίου ∠η', μολίϐδου κεκαυμένου καὶ πεπλυμένου ∠η', τρα-
γακάνθης ∠η', σμύρνης ∠η', ὀπίου πεφωγμένου ∠ϐ', κόμμεως
∠δ', πρὸς τὴν ἀνάληψιν ᾠῶν προσφάτων κ' τὸ λευκὸν, ὕδωρ
ὄμϐριον.

1 ριη'. Σύλλουτρον τὸ Ἀπολλιναρίου. — Ψιμμιθίου ∠κδ', καδ-
μείας ∠η', χαλκοῦ κεκαυμένου ∠ιϐ', σμύρνης ∠ϐ', ἀλόης ∠ϐ', κρόκου
∠ϐ', ἀκακίας ∠δ', τραγακάνθης ∠η', ἀμύλου ∠ϛ', ὀπίου ∠ιϐ',
κόμμεως ∠ι', ὕδωρ ὄμϐριον.

ριθ'. Κύκνος ξανθὸς Βάσσου πρὸς ῥεύματα καὶ περιωδυνίας καὶ
1 ἑλκώσεις διὰ ᾠοῦ ἢ ὕδατος. — Καδμείας κεκαυμένης καὶ πεπλυ-
μένης ∠λϐ', ψιμμιθίου πεπλυμένου ∠ιϛ', σποδίου ∠ιϛ', ὀπίου πε-
φωγμένου ∠η', ἀκακίας κιῤῥᾶς, ἀμύλου, κόμμεως, τραγακάνθης ἀνὰ
∠δ', ὕδωρ ὄμϐριον.

1 ρκ'. Τὸ διὰ ἐρείκης. — Ἐρείκης καρποῦ, σμύρνης, ὀπίου ἀνὰ
∠ϐ', χαλκοῦ κεκαυμένου ∠α', κόμμεως ∠ϛ', ἀκακίας ∠ϛ', καδμείας
∠ϛ', ὕδωρ ὄμϐριον.

ρκα'. Τὸ οὐράνιον πρὸς ἕλκη, φλυκταίνας, ῥήξεις, ἐπικαύματα,
προπΊώσεις, σΊαφυλώματα, ὑποπύους, διαϐρώσεις, νομὰς, ἄνθρα-
κας, καὶ πρὸς πάσας τὰς μεγάλας διαθέσεις, μάλισΊα δὲ τρυφε-
1 ροφθάλμοις καὶ χαροποῖς. Ἐν ἀρχαῖς ὑδαρεσΊέρως ἐγχυμάτιζε·

Ch. 116. Hoc caput bis exhibent Codd., nempe hoc loco et post caput ρο' (p. 143, l. 13). — 1. ἐκ τῶν Φιλ. om. A utroque loco, reliqui Codd. altero loco. — Ib. τῷ om. A utroque loco. — 3. ἀνά om. BP. — Ch. 117, l. 7-8. τραγακ. ∠η' e LN; om. Codd. gr. — 8. ∠ϐ' e LN; ∠η' Codd. gr. — 9. ∠δ' Paul.; ∠α' Codd. — Ch. 118; l. 12-13. ἀλ. ☧ η', κρ. ☧ η', ἀκ. ☧ δ', τραγ. ☧ ια' BP. — Ch. 120; l. 21. χαλκοῦ e LN; χαλκάνθου Codd. gr. — Ch. 121; l. 25. δέ om. BP. — 26 ἐγχυματίζεται BP.

ὅταν δὲ λεπ7ὸν καὶ δηκτικὸν ᾖ καὶ πυρῶδες τὸ ῥεῦμα, χρῶ μετὰ
γάλακτος· ὅταν δὲ ἀνακαθαρθῇ καὶ παχὺ ῥεῦμα διαλῦσαι θέλῃς, διὰ
ὕδατος. — Γῆς σαμίας ὠπ7ημένης γο γ', σποδίου πεπλυμένου γο α', 2
καδμείας κεκαυμένης καὶ πεπλυμένης γο ϐ', σ7ίμμεως πεπλυμένου
γο β', λεπίδος πεπλυμένης γο δ', ὀπίου ∠ϛ', κόμμεως γο δ', ὕδωρ
ὄμϐριον.

ρκϐ'. Κολλύριον τὸ ἀχάρισ7ον πρὸς τὰς μεγίσ7ας ἐπιφοράς·
ποιεῖ μάλισ7α ἐπὶ τῶν ἀγροικοτέρων. — Καδμείας ∠ιϛ', ἀκακίας 1
∠η', χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ∠η', ὀπίου ∠δ', ἐρείκης
καρποῦ ∠δ', σμύρνης ∠δ', κόμμεως ∠ιϛ'. Ὕδατι ἀναλάμϐανε. Ἡ 2-3
χρῆσις διὰ γάλακτος γυναικείου· ἡ κρᾶσις μέση. Ὅταν δὲ οὐδὲ ᾖ 4
ἐπιφορὰ, ἀλλὰ ἡ διάθεσις περὶ τοὺς ὀφθαλμοὺς ᾖ, ἀπέχεσθαι δεῖ
τοῦ κολλυρίου.

ρκγ'. Τὸ διὰ λιϐάνου πρὸς ῥεύματα καὶ χημώσεις. — Καδμείας 1
κεκαυμένης καὶ πεπλυμένης ∠κ', λιϐάνου ∠κ', ψιμμιθίου πεπλυ-
μένου ∠μ', ὀπίου ∠ϛ', κόμμεως ∠ϛ'. Ὕδατι ὀμϐρίῳ. 2

ρκδ'. Κύκνος πρὸς ἕλκη παντοῖα, ἐπιφορὰς, περιωδυνίας, ὑπο-
πύους ὀφθαλμούς. — Σποδίου πεπλυμένου ∠δ', γῆς σαμίας, ἀμύ- 1
λου, ἀκακίας, ὀπίου ἀνὰ ∠δ', τραγακάνθης ∠ϐ'. Ὕδατι ὀμϐρίῳ. 2
Ἡ χρῆσις διὰ ᾠοῦ. 3

ρκε'. Λιϐιανὸν πρὸς φλύκτεις, ἐπικαύματα, ῥήξεις, κοιλώματα,
πρὸς ὑποπύους ὀφθαλμοὺς, χημώσεις, σ7αφυλώματα, πρὸς περιω-
δυνίας καὶ διαθέσεις· καὶ οὐλὰς ἀποσμήχει. — Καδμείας κεκαυμένης 1
καὶ πεπλυμένης ∠ιϛ', ψιμμιθίου ∠γ', σμύρνης ∠ιϐ', σ7ίμμεως
κεκαυμένου καὶ πεπλυμένου ∠ιϐ', μολίϐδου κεκαυμένου καὶ πεπλυ-
μένου ∠η', ὕδωρ, καὶ πρὸς τὴν ἀνάληψιν ᾠῶν εἴκοσι τὸ λευκόν· ἐν
ἄλλῳ καὶ ὀπίου ∠ϐ'.

1. *δηκτικόν* Aët.; *δηκτόν* Codd. — 4. *κεκαυμ. καί* om. BP. — Ch. 122; l. 8. *ποιεῖ* om. A. — Ib. *ἐπί* om. A. — Ib. *ἀγροίκων* A. — 9. *πεπλ. ∠ϐ'* A. — 10. *∠ιϛ'* e LN: *∠ϛ'* Codd. gr. — Ch. 123; l. 14. *ῥεῦμα* F. — 15. *∠κ'*] *ἀνὰ ∠ϛ'* A. — Ib. *∠κ'*] *χ μ'* BP. — Ch. 124; l. 19. *∠ϐ'*] *∠α'* BP. — Ch. 125; l. 21. *φλυκταίνας* BP. — 22. *σ7αφ. περ.* BP. — 25. *μολίϐδου*] *βδελλίου* BP. — 26. *∠η'*] *χ ϐ'* BP. — Ib. *ὕδωρ τὸ ἀρκοῦν* BP. — Ib. *τὰ λευκά* BP. — 27. *β'*] *ια'* BP.

ρκϛ'. Τὸ διὰ κέρατος ἐλάφου πρὸς ἕλκη, φλύκτεις· καὶ οὐλὰς
1 ἀποσμήχει. — Κέρατος ἐλάφου κεκαυμένου ∠δ', λιβάνου ∠δ', μο-
λίβδου κεκαυμένου καὶ πεπλυμένου ∠β', λεπίδος χαλκοῦ ∠β', ὀπίου
∠α', κόμμεως ∠δ', ὕδωρ ὄμβριον.
1 ρκζ'. Δημοσθένους τὸ Νειλέως διὰ ῥόδων. — Ῥόδων ἁπαλῶν ∠δ',
κρόκου ∠β', μήκωνος ὀβολὸς, νάρδου ὀβολὸς, κόμμεως ∠α', ὕδωρ.
2 Ποιεῖ δὲ πρὸς χημώσεις καὶ προπτώσεις καὶ φλυκταίνας καὶ ἕλκη
προέχοντα καὶ ῥυπαρὰ καὶ πρὸς περιωδυνίας καὶ τραχέα βλέ-
φαρα.
1 ρκη'. Τὸ μηδικόν. — Γλαυκίου ∠δ', σαρκοκόλλης ∠δ', κρόκου
2 ∠α', τραγακάνθης ∠β'. Λεάνας ἐν ὕδατι τὰ ἄλλα, ὅταν καλῶς ἔχῃ,
προβεβρεγμένην τὴν τραγάκανθαν συλλέανον, καὶ ἀναπλάσας χρῶ
πολλάκις ὑπαλείφων παχυτέρῳ.
1 ρκθ'. Τὸ σποδιακὸν ποιοῦν πρὸς φλεγμονὰς καὶ ῥεῦμα. — Λι-
βάνου, στίμμεως ἀνὰ ∠ρ', καδμείας, ψιμμιθίου ἀνὰ ∠κδ', γῆς ἀστέ-
2 ρος ∠γ', μήκωνος ∠γ', κόμμεως ∠ιε'. Λέαινε ἐν θαλλίας χυλῷ,
ποίει δὲ τὸν χυλὸν οὕτως· τὰ ἁπαλώτατα φύλλα τῆς ἐλαίας πλυ-
θέντα κόψας ἐν ὅλμῳ, σύμμετρον ὕδατος παραχέων, διὰ ὀθονίου
καθαροῦ ἀπόθλιψον.
1 ρλ'. Νάρδινον. — Καδμείας ∠ιβ', χαλκοῦ κεκαυμένου ∠γ', στίμ-
μεως ∠κ', νάρδου συριακῆς ∠δ', ἀκακίας ∠ι', κρόκου ∠β', κόμμεως
2 ∠κ'. Λέαινε ὀμβρίῳ ὕδατι.
ρλα'. Κολλύρια μήτε ἐμπλάσσοντα, μήτε παχύνοντα τὰ ὑγρὰ,
ἀλλὰ χέοντα καὶ ἐκκρίνοντα, οἷά ἐστι τὸ ἀρωματικὸν καὶ τὸ χια-
1 κόν· ἔστι δὲ τὸ μὲν ἀρωματικὸν τοιόνδε. — Πομφόλυγος ∠ε', χαλ-

Ch. 126; l. 3. λεπ... β' L N Gal.; om. Codd. gr. — 4. δ'] β' BP. — Ch. 127; l. 5. Νειλέως Cels.; Νείλου Codd., et sic sæpius. — Ib. διάῤῥοδον BP; διάροδον F. — 6. α'] β' BP. — 7. δὲ καὶ πρός F. — Ib. προπτώσεις Gal.; πτώσεις Codd. — 8. προέχοντα e conj.; προέχον F; προέχων BP. — Ib. πρός om. BP. — Ch. 128; l. 10. μαδικόν BP. — Ib. κρόκους BP, et sic sæpius. — 11. β'] α' BP. — Ib. ὅταν] ὅπως BP. — Ch. 129; l. 14 ῥεύματα BP. — 15-16. σαμίας γῆς ἀστέρος Codd. — 17. ἀπαλλότερα BP. — 18. παραχέας BP. — Ch. 130; l. 20. ιβ'] ιη' BP. — Ib. γ'] ϛ' BP. — 21. β'] α' BP. — Ch. 131; l. 25. ε'] γ' BP.

κοῦ κεκαυμένου ∠β', σμύρνης ∠γ', λίθου αἱματίτου ∠δ', πεπέρεως
λευκοῦ κόκκοι ιη', κρόκου ∠β', κόμμεως ∠γ'. Οἴνῳ χίῳ ἢ Φαλε- 2
ρίνῳ χρῶ.

ρλβ'. Τὸ δὲ χιακόν. — Σποδίου ∠γ', χαλκοῦ κεκαυμένου ∠γ', 1
κρόκου ∠α', σμύρνης ∠δ', μηκωνείου ∠α', πεπέρεως λευκοῦ κόκκοι
ιβ', κόμμεως ∠α'. Λέαινε οἴνῳ χίῳ ἀθαλάσσῳ ἢ ἀμιναίῳ. 2

ρλγ'. Ξηρὸν πρὸς τοὺς ψωρώδεις κανθούς. — Χαλκίτεως ∠ε', 1
καδμείας ∠ε'. Λεῖα ἐντίθεται εἰς ἀγγεῖον κεραμεοῦν καὶ βάλλεται τὸ 2
χυτρίδιον εἰς ὄξος κεκραμένον, ὥστε ἔξω μὲν βρέχεσθαι τὴν χύτραν,
ἔσωθεν δὲ αὐτῆς μὴ παραῤῥυῆναι τὸ ὑγρὸν, καὶ ἀφίεται ἡμέρας ζ',
εἶτα ξηραίνεται.

ρλδ'. Κολλύριον τὸ δικέντητον. — Καδμείας ∠δ', ἰοῦ ∠α', μί- 1
συος ὀπτοῦ τριώβολον, πεπέρεως λευκοῦ ∠γ', κόμμεως ∠β'. Ποιεῖ 2
δὲ καὶ πρὸς ἀμβλυωπίας καὶ πρὸς ἀρχομένας ὑποχύσεις καὶ λεπτύ-
νει· ἔστι δὲ θερμόν.

ρλε'. Ἡ Ἐρασιστράτου πάγχρηστος ὑγρὰ θαυμαστὴ ποιοῦσα
πρὸς φλεγμονὰς τῶν ὀφθαλμῶν καὶ πρὸς τὰς ἀρχομένας ὀφθαλ-
μίας καὶ βλέφαρα τραχέα, καὶ σχεδὸν περὶ πᾶσαν ὀφθαλμίαν τῶν
ἐνεργῶν· ἐχρῆτο δὲ αὐτῇ καὶ πρὸς αἰδοῖα ἡλκωμένα καὶ ὦτα πυοῤ-
ῥοοῦντα καὶ παρίσθμια καὶ σταφυλὰς καὶ πρὸς τὰ ἐπὶ τοῦ σώματος
ἄλλως οὐχ ὑγιαζόμενα ἕλκη, καὶ μελανίας τὰς ἐπὶ τῶν ἑλκῶν, καὶ
πρὸς τὰ ἐν τοῖς μυκτῆρσι γινόμενα πάθη καὶ τὰ ἐν τῷ στόματι. —
Ἔστι δὲ χαλκοῦ κεκαυμένου ∠β', σμύρνης ∠α', μίσυος ὀπτοῦ ∠α', 1
πεπέρεως ὀβολοὺς β', κρόκου τριώβολον. Οἴνῳ χίῳ λεαίνεται, εἶτα 2
μίγνυται γλυκέος κο. α', καὶ πάλιν λεαίνεται ἕως μιγῇ τὸ φάρμα-
κον, εἶτα εἰς χαλκοῦν ἀναληφθὲν ἀγγεῖον ἕψεται ἐπὶ μαλακοῦ πυρὸς

1-2. λίθου... γ' om. BP. — Ch. 132; l. 5. ∠α' post μηκ. e L; ∠δ' Codd. gr. — 6. ιβ'] η' BP. — Ch. 133; l. 8. ἀλλὰ καί BP. — Ch. 134; l. 12. δικέντητον Aët.; διακέντητον Codd. — Ib. δ'] ε' BP. — 13. λευκοῦ] ὀπτοῦ BP. — Ib. β'] α' BP. — 14. δὲ πρός BP. — Ch. 135; l. 16. ὑγρὰ θαυμ. om. A. — 17. καὶ πρὸς τάς om. A. — 18-19. βλέφ... ἡλκ. καί om. A. — 18. τραχέα om. BP. — 20. πρὸς τά om. BFP. — 21. καὶ..... ἑλκῶν om. A. — 24. ὀβ. β' LN Gal.; ὀβ. ιβ' Codd. gr. — 25. πάλιν ὁμοίως BP.

μέχρι γένηται ἰξῶδες, εἶτα μεταχεῖται εἰς χαλκῆν πυξίδα, καὶ τελέως ἔχει πρὸς τὰς εἰρημένας χρείας.

*ρλϛʹ. Κολλύριον πρός τε τὰ καθαρὰ ἕλκη καὶ ἀκάθαρτα, καὶ τὰ
νεμόμενα καὶ τὰς ὑπεροχὰς, ἔτι δὲ παλαιὰς διαθέσεις καὶ τραχέα
βλέφαρα καὶ συκώσεις καὶ ἐκτροπὰς καὶ ἥλους καὶ σΊαφυλώματα
καὶ ῥεῦμα πᾶν καὶ περιωδυνίας καὶ ψωροφθαλμίας· ποιεῖ δὲ καὶ
τὰς οὐλὰς λείας· ποιεῖ δὲ καὶ πρὸς τὰς ἀνθρακώσεις καὶ τὰς πυώ-
σεις· παραδιαφορηθείη γὰρ ἂν τὸ πύον· καὶ καθόλου κάλλισΊον
1 πρὸς πάντα τὰ ἐν ὀφθαλμοῖς.— Ἔσ7ι δὲ σποδίου ∠γʹ, χαλκάνθου
∠ϐʹ, κρόκου ∠αʹ, σμύρνης ὀϐολοὺς δʹ, μηκωνείου ὀϐολοὺς δʹ, πε-
πέρεως λευκοῦ κόκκοι ιϐʹ, κόμμεως ∠αʹ, οἴνου χίου αὐσΊηροῦ ἢ
ἀμιναίου τὸ ἱκανόν.*

*ρλζʹ. Ἄλλο πρὸς τὰ καθαρὰ ἕλκη καὶ ἤδη δεόμενα πληρώσεως
καὶ ἀπουλώσεως τὸ τοῦ Κλέωνος λεγόμενον, ᾧ καὶ ἡμεῖς χρώμε-
νοι εὐαρεσΊοῦμεν· πάνυ γὰρ βαθύτατα ἕλκη πληροῖ τάχισΊα καὶ
κατουλοῖ συντόμως λεπΊαῖς καὶ ἀδήλοις οὐλαῖς, καὶ ἀφλέγμαντα τὰ
1 ἕλκη διατηρεῖ. — Ἔσ7ι δὲ σποδίου ∠δʹ, μολίϐδου κεκαυμένου μετὰ
θείου ἀπύρου καὶ πεπλυμένου ∠δʹ, λεπίδος σΊομώματος πεπλυμέ-
2 νης ∠αʹ καὶ τριώϐολον, κόμμεως ∠ϐʹ. Ὕδατι λεάνας καὶ ἀναπλά-
σας χρῶ μετὰ γάλακτος ἢ ᾠοῦ τοῦ λευκοῦ.*

*1 ρληʹ. Κολλύριον τὸ Δίωνος.— Σποδίου ∠δʹ· οἱ δὲ ∠αʹ· φλοιοῦ
λιϐάνου ὀϐολὸν, σμύρνης ὀϐολὸν, λεπίδος χαλκοῦ ὀϐολὸν, ἀκακίας,
νάρδου ἰνδικῆς, μηκωνείου πεφωγμένου ἀνὰ ὀϐολὸν, κόμμεως ∠δʹ,
2 ὕδωρ ὄμϐριον. Ἔγχριε διὰ ᾠοῦ.*

1. *μέχρι*] *ἕως* A. — Ch. 136; l. 3. *πρὸς τὰ κάθυγρα καὶ ἀκάθαρτα ἕ.* A. — 3-4. *καὶ νεμ.* A. — 4-5. *καὶ τὰς... ἥλους* om. A. — 6. *καὶ ῥ. πᾶν* om. A. — 6-7. *ψωροφθ... πρὸς τάς* om. A. — 7. *οὐλ. λ.*] *προσφάτους καὶ παχείας* BP. — 7-8. *καὶ πυώσεις* A. — 8. *παραδ. ...πύον* om. A. — Ib. *παραδιαφ.* e L qui habet *digerit*; *παραδιηθείη* F; *παραδινθείη* BP. — Ib. *ἄν* e conj.; *καί* BP; om. F. — 9. *Ἔσ7ι δέ* om. BP. — 10. *ὀϐολοὶ..... ὀϐολοί* A. — 11. *κό. ιβʹ*] ∠αʹ A. — 11-12. *ἢ ἀμ.* om. ABP. — Ch. 137; l. 13. *ἕλκη ἤδη* BP. — 14. *ἐπουλ.* BP. — 15. *εὐχαρισΊοῦμεν* BP. — 17. *δʹ* e N; *αʹ* Codd. gr. — Ib. *μολ.*] *βδελλίου* BP. — 18. *σΊομώμ.* om. BP. — Ch. 138; l. 21. *οἱ... αʹ* om. BP.

ρλθʹ. Κολλύριον τὸ καλούμενον πεπιεσμένον ἄριστον πρὸς οὐλὰς καὶ τὰ ὑπερσαρκώματα καὶ πρὸς τραχέων βλεφάρων ἀποκάθαρσιν καὶ πρὸς τὰς ἐκτροπὰς καὶ λιθιάσεις καὶ χαλάζια καὶ σκιῤῥώδεις διαθέσεις καὶ πτερύγια καὶ ἐγκανθίδας καὶ ψωροφθαλμίας καὶ ὑμένων παχύτητας καὶ ῥεύματος πολλοῦ καὶ παχέος ἀποκάθαρσιν, καὶ πρὸς τὸ ὑδαρὲς καὶ πολὺ ἐπέχειν ῥεῦμα· ἀποτήκει τε γὰρ καὶ ἀποκαθαίρει ἀσφαλῶς, λεπτύνει καὶ σμήχει δάκνον ἱκανῶς, ἀσύγχυτόν τε τηρεῖ τὸν ὀφθαλμὸν, ἥδιστον καὶ προσηνέστατον. — Ἔστι 1
δὲ τοιόνδε· χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ὀϐολοὶ δʹ, κρόκου ∠αʹ, σμύρνης ὀϐολοὶ γʹ, νάρδου ἰνδικῆς ὀϐολοὶ βʹ, κινναμώμου ὀϐολοὶ βʹ, μήκωνος ὀϐολοὶ βʹ, πεπέρεως κόκκοι ιεʹ, κόμμεως ὀϐολοὶ γʹ, οἴνου χίου τὸ ἱκανόν. Εἰ δέ ποτε προσϐάλλοις σποδίου ∠δʹ, γίνε- 2
ται πρὸς πᾶν ῥεῦμα καὶ ὀφθαλμίαν ἄριστον.

ρμʹ. Κολλύριον πρὸς ἀνθρακώσεις τὸ λεγόμενον ἀνίκητον. —
Σποδίου πεπλυμένου ∠δʹ, μηκωνείου ∠αʹ, ὑοσκυάμου χυλίσματος 1
∠αʹ, ἀκακίας ∠αʹ, νάρδου ὀϐολοὶ βʹ, λεπίδος χαλκοῦ ἐρυθροῦ ὀϐολοὶ βʹ, λιϐάνου ἀτόμου αἰθάλης ὀϐολοὶ δʹ, κόμμεως ∠γʹ, κωνείου χυλίσματος ∠αʹ. Ἔστι δὲ καὶ περίχριστον. 2

ρμαʹ. Πρὸς ἄνθρακας. — Μηκωνείου, ἀκακίας, ὑοσκυάμου ἢ μί- 1
συος, μυρίκης καρποῦ ἑκάστου ἴσον. Λεάνας καὶ διεὶς οἴνῳ παχεῖ 2
ἐπίχριε τούς τε ἐπὶ τῶν ὀφθαλμῶν ἄνθρακας καὶ περὶ τὰ ἄλλα μέρη.

ρμϐʹ. Κολλύριον πρὸς φθίσιν. — Ἀμμωνιακοῦ ∠αʹ, κροκο- 1
μάγματος ∠δʹ, κρόκου ∠ϐʹ, ἰοῦ ∠αʹ. Ὕδατι ἀναλάμϐανε. 2

ρμγʹ. Πρὸς ὑποχύσεις. — Μαράθρου χλωροῦ χυλὸν μίξας μέλιτι 1

Ch. 139; l. 1-2. *οὐλάς*] *βλέφαρα* A. — 2. *καὶ τά* om. A. — Ib. *ὑπερσαρκοῦντα* A. — 2-3. *καὶ... ἐκτρ. καί* om. A. — 4-5. *καὶ ψωφοφθ... ἀποκάθαρσιν* om. A. — 7. *ἀσφ.* om. A. — Ib. *ἰσχυρῶς* BP. — 8. *δέ* BP. — Ib. *ἥδ. τε καί* A. — 9. *τοιοῦτον* F. — Ib. *ὀϐολούς* BFP. — 10-11. *νάρδου..... ὀϐ. γʹ* om. BP. — Ib. *κινναμώμου ὀϐ. ιϐʹ* A. — 12. *Εἰ... προσϐάλλοις* om. A. — Ib. *αʹ* A. — 13. *ὀφθαλμίας* A. — Ch. 140; l. 15. *μήκωνος* A. — 16. *λεπίδος* e N; om. Codd. gr. — 17. *γʹ*] *ϛʹ* BP. — Ch. 141; l. 19-20. *ὑοσκυάμου ἡμίσεος* A. — Ch. 142; l. 23. *Κολλύριον φθισικόν* F.

2 ἴσον ἴσῳ ἅμα ζέσον ἕως ὅτου μέλιτος σχῇ πάχος. Τοῦτο καὶ πτε-
ρύγια ἀφαιρεῖται· ἡμεῖς δὲ μάλισλα χρώμεθα τῇ ὑπογεγραμμένῃ·
3 ἐπὶ πολλῶν γὰρ τὸ δέον ἐποίησεν. Καυκαλίδος χυλοῦ, χαμαίδρυος,
4-5 κορωνόποδος ἑκάσλου ἴσον. Λεάνας ποίει κολλύρια. Ἐνίοτε δὲ καὶ
ὀθόννης χυλοῦ ἓν μέρος ἔμιξον· ταύτην δὲ τὴν ὀθόννην τινὲς κα-
6 λοῦσι χελιδόνιον μέγα, ὡς ὁ Διοσκορίδης (II, 213) φησίν. Φυ-
λάτλεσθαι δὲ χρὴ τὸ μικρὸν χελιδόνιον ὃ καλοῦσι καὶ πυρὸν ἄγριον·
δριμὺ γάρ ἐσλι καὶ ἑλκοῖ ὡς καὶ ὁ Γαληνὸς (*Med. simpl.* VIII, XXII,
7 9) μαρτυρεῖ. Ἀδηκτότερον δέ ἐσλι τὸ πρότερον τὸ πρὸς ὑποχύσεις.

1 ρμδ'. Ἀρχιγένους ὀξυδορκικώτατον. — Ὀνίσκου τοῦ ἰχθύος λίπος
2 τὸ ἐν τῇ κοιλίᾳ λαϐὼν ἀπόσλησον γο γ', σκαμμωνίας γο ς''. Τού-
3 τοις λείοις μίσγεται κεδρίας γο α'. Ἐγχρίεσθαι δὲ δεῖ ἢ ἐν βαλα-
νείῳ ἢ ἐν ἡλίῳ ἐκπύρῳ.

ρμε'. Δημοσθένους κολλύριον πρὸς τὰς παλαιὰς διαθέσεις. —
1 Λυκίου ∠γ', χαλκοῦ κεκαυμένου ∠ιϐ', καδμείας ∠ιϐ', μηκωνείου
2 ∠ς', κρόκου ∠ιϐ', ἀκακίας ∠ιϐ'. Λέαινε ὕδατι.

1 ρμς'. Ἀνακόλλημα ῥεύματος ἐφεκτικὸν Κλέωνος. — Γῆς σαμίας
2 μέρος ἕν, σμύρνης μέρος ἕν, μάννης μέρος ἕν. Ἀναλάμϐανε ᾠοῦ
τῷ λευκῷ, ἔπειτα ἐμπλάσας εἰς ὀθόνην ἐπιτίθει κατὰ τῶν κροτά-
φων καὶ τοῦ μετώπου.

1 ρμζ'. Ξηρὸν καλλιϐλέφαρον ποιοῦν νηπίοις μάλισλα. — Στίμ-
μεως ∠ις', μολίϐδου κεκαυμένου ∠η', λεπίδος, κρόκου, ῥόδων ἄν-
θους, σμύρνης, νάρδου ἰνδικῆς, λιϐάνου ἄῤῥενος, πεπέρεως λευκοῦ
2 ἀνὰ ∠α', φοινίκων ὀσλᾶ λ'. Πάντα βαλὼν εἰς ἄγγος κεραμεοῦν ὄπλα
φιλοπόνως, ἔπειτα εἰς θυίαν ἐξεράσας καὶ τρίψας ἐπίϐαλλε ὀπο-
ϐαλσάμου κοχλιάρια δύο, ἔπειτα ἀνακόψας καὶ ξηράνας χρῶ.

ρμη'. Ξηρίον πρὸς ψωροφθαλμίαν καὶ σύκωσιν καὶ σηπεδόνας
1 καὶ ὑπερσαρκώματα. — Καδμείας ∠ι', χαλκίτεως ∠κ', πεπέρεως
2 κόκκοι ιε', νάρδου κελτικῆς ∠α'. Τρίϐε καδμείαν καὶ χαλκῖτιν μετὰ

1. ἅμα ζέον F; ἀνάζεσον A. — Ib. σχεῖ A; ἔχει BFP. — Ib. σύσλασιν BP. — 5. ὀθόνης... ὀθόνην Codd. — 9. πρᾶτον BP. — Ib. τό om. BP. — Ch. 144; l. 12. Χρίεσθαι BP. — 13. εἰς πύρωσιν BP. — Ch. 146; l. 19. ὀθόνιον ABP.

οἴνου καὶ ὅταν ξηρανθῇ, ἐπίϐαλλε νάρδον καὶ τὸ πέπερι καὶ ποιή-
σας χνοῶδες χρῶ.

ρμθ'. Ὑγρὰ πρὸς τὰς συκώδεις ἐπαναστάσεις καὶ πάσης σαρκὸς
ἐξοχὴν, καὶ πρὸς ἐγκανθίδας. — Μίσυος ὀπτοῦ ∠ς', χαλκάνθου 1
∠δ', μέλιτος ἀττικοῦ κυάθους ι'.

ρν'. Ἄλλο πρὸς τύλους καὶ πᾶσαν ἐξοχήν. — Χαλκοῦ κεκαυμένου 1
∠β', μίσυος κεκαυμένου ∠α', σμύρνης, κρόκου, ὄμφακος ἀνὰ ∠α',
οἴνου χίου κυ. η', μέλιτος ἀττικοῦ γο ς'.

ρνα'. Πρὸς ὀξυδορκίαν καὶ ἀπογλαύκωσιν. — Πέρδικος χολῆς 1
μέρος α', μέλιτος ἀττικοῦ μέρη γ', κενταυρείου χυλοῦ μέρος α'.

ρνβ'. Οὐλὰς ὀφθαλμῶν ἆραι. — Λαγωοῦ χολὴν μετὰ μέλιτος 1
λειώσας ἔγχριε.

ρνγ'. Ἀνακολλήματα τριχῶν. — Κηροῦ, πίσσης, λιθοκόλλης ἀνὰ 1
∠α' ὁμοῦ τήξας ἀπόθου· ἐν δὲ τῇ χρήσει μηλωτίδος τὸ ἄκρον πυ-
ρώσας παράπτου τῷ φαρμάκῳ, καὶ τὸ διαλυόμενον αἴρων ἀνακόλλα
τὰς τρίχας.

ρνδ'. Πρὸς κριθὰς καὶ χαλάζια. — Σαγαπηνὸν μετὰ ὄξους τρί- 1
ψας χρῶ.

ρνε'. Πρὸς αἰγίλωπας. — Λιϐάνου ∠η', σμύρνης ∠η', λαδάνου 1
∠δ', κηροῦ ∠η', σχιστῆς ∠δ', ἀφρονίτρου ∠δ', πυτίας λαγωοῦ
∠δ'. Κόπτεται τὸ φάρμακον καὶ μαλάσσεται ἰρίνου μύρου ὑπο- 2
στάθμῃ.

ρνς'. Πρὸς περιωδυνίας ὀφθαλμῶν κατάπλασμα. — Ῥόδων ξη- 1
ρῶν ∠δ', ὀπίου ∠α', κρόκου ∠α'. Ἀναλάμϐανε μελιλώτου ἀφεψήματι 2
ἐν γλυκεῖ.

ρνζ'. Πρὸς περιωδυνίας ἐπίχρισμα. — Ἀλόης, λυκίου, ῥόδων 1
χλωρῶν, κρόκου, ὀπίου, σμύρνης ἑκάστου τὸ ἴσον. Οἴνῳ φυράσας 2
ἀνάπλασσε τροχίσκους καὶ ξήραινε ἐν σκιᾷ· ἐν δὲ τῇ χρήσει γλυκεῖ
διαλύων ἐπίχριε τοὺς ὀφθαλμοὺς καὶ τὸ μέτωπον καὶ τοὺς κροτάφους.

1. ξηρανθῇ] γὰρ κρανθῇ BP. — Ch. 150; l. 7. ∠β' om. BP. — Ib. ∠α' post κεκ. om. BP. — 8. γο α' BP. — Ch. 151; l. 10. κενταυρίου BFP. — Ch. 152; l. 11. Πρὸς οὐλὰς ὀ. ἆ. BP. — Ch. 155; l. 20. σχ. ∠δ' om. BP.

ρνη'. Διὰ ῥόδων Διαγόρου τὸ μέγα καλούμενον πρὸς περιωδυ-
νίας, φλυκταίνας, ἐπικαύματα, σ7αφυλώματα, προπ7ώσεις, ὑπο-
πύους ὀφθαλμοὺς, ῥεύματα παλαιὰ, ὀφθαλμίας, δυσαπαλλάκτους
1 διαθέσεις. — Ῥόδων χλωρῶν χωρὶς τῶν λοϐῶν ∠οϐ', καδμείας ∠κδ',
κρόκου ∠ϛ', ὀπίου ∠γ', σ7ίμμεως ∠ϐ', χαλκοῦ κεκαυμένου ∠ϐ',
ἰοῦ ∠ϐ', νάρδου ἰνδικῆς ∠α', σμύρνης ∠γ', κόμμεως ∠κδ', ὕδωρ
ὄμϐριον.

ρνθ'. Κροκῶδες παιδικὸν ἐπιγραφόμενον πρὸς ἐπιφορὰς καὶ
1 περιωδυνίας καὶ τὰς ἐκ πληγῶν διαθέσεις. — Σποδοῦ πομφόλυγος
2 ∠ιϛ', κρόκου ∠ιϛ', ὀπίου ∠ιϛ', τραγακάνθης ∠η'. Ὕδατι ὀμϐρίῳ,
καὶ πρὸς τὴν ἀνάληψιν ᾠῶν τεσσάρων τὸ λευκόν.

ρξ'. Τὸ Ἀσκληπιάδειον τὸ Πακκιανὸν πρὸς περιωδυνίας, ῥεῦμα
λεπ7ὸν καὶ πολὺ, ἐπικαύματα, φλυκταίνας, ὑμένων ἐπανασ7άσεις,
τραχώματα, κεχρονισμένας διαθέσεις· καὶ τοὺς ὑπὸ πολλῶν ἐγχρί-
1 σεων βλαϐέντας παραχρῆμα ὠφελεῖ. — Καδμείας, χαλκοῦ κεκαυμέ-
νου, κρόκου, λεπίδος χαλκοῦ ἀνὰ ∠ιϐ', σμύρνης, λίθου αἱματίτου,
ῥόδων ξηρῶν, νάρδου ἰνδικῆς, ὀπίου ἀνὰ ∠δ', πεπέρεως λευκοῦ
2 κόκκοι κ', κόμμεως ∠ιϐ', οἴνου χίου τὸ αὔταρκες. Ἡ χρῆσις διὰ ᾠοῦ.

ρξα'. Πρὸς τὴν ἀχλὺν τῶν ὀμμάτων ἐγχεῖν δεῖ τοῖς ὀφθαλμοῖς
1 ἐπὶ ἑκάσ7ης ἡμέρας ὧδε πεποιημένον ἐπὶ μῆνα καὶ ἡμέραν. — Μά-
ραθρα βάλλειν χλωρὰ εἰς ἄγγος κεραμεοῦν ἔξωθεν πίσσῃ κεχρι-
σμένον καὶ ὕδωρ ὄμϐριον, ἔπειτα ἐξελόμενον τὰ μάραθρα ἔχειν ἀπο-
κείμενον.

1 ρξϐ'. Σμήγματα καὶ δρώπακες. — Σμῆγμα ὁ Ἀσκληπιός. Ἁλῶν
κοινῶν, ἁλῶν ἀμμωνιακῶν, ἁλῶν καππαδοκικῶν πεφωγμένων, νί-
τρου φρυκτοῦ, κισήρεως, ἀφρονίτρου λευκοῦ, δαφνίδων ξηρῶν ἀνὰ

Ch. 158; l. 1. Διάῤῥοδον ABP; διάροδον F. — 2. προπ7 om. A. — 3. παλαιάς ABP. — 5. κεκαυμ. N; om. Codd. gr. — 6. ἰοῦ ∠ϐ' N Lips.; om. Codd. gr. — Ib. σμ. ∠γ' LN Aët. Paul.; σμ. γο γ' Codd. gr. — Ch. 159; l. 10. ὀπ. ∠ιϛ' Gal.; om. Codd. — 11. τῇ ἀναλήψει Codd. Gal. — Ch. 160; l. 15-16. κεκ. LN Gal.; om. Codd. gr. — 18. κόκκοι ∠ιϛ' BP. — Ib. θ' BP. — Ch. 161; l. 20 ὧδε] ὕδωρ F. — Ib. ἡμέρας BFP. — 22. καί om. BFP. — Ch. 162; l. 25. πεφρυγμ. BP. — 25-26. νίτρ. φρυκτοῦ LN; om. Codd. gr.

λ̸ α', ἐλλεβόρου λευκοῦ, σΊρουθίου, σΊαφίδος ἀγρίας, νάπυος ἀλεξαν-
δρίνου, θείου ἀπύρου, πυρέθρου, σφέκλης, σχοίνου ἄνθους, κυπέρου
ἀνὰ γο ϛ', σαμψύχου, σΊυπΊηρίας σχισΊῆς, κηκῖδος, κόμμεως, λι-
βανωτοῦ, ἀλκυονίου, πεπέρεως, κάχρυος, σικύου ἀγρίου ῥίζης, χα-
μαιλέοντος, ἴρεως, πρασίου ξηροῦ ἀνὰ γο γ'. Κόψας σήσας χρῶ. 2

ρξγ'. Σμῆγμα ξηραῖνον κεφαλήν. — Κιμωλίας ∠β', νίτρου, βρυω- 1
νίας, σικύου ἀγρίου φλοιοῦ τῆς ῥίζης ξηροῦ, κυαμίνου ἀλεύρου, θερ-
μίνου ἀνὰ ἡμίξεσΊον. Λεῖα μετρήσας ἕνωσον· χρῶ δὲ ἐν λουτρῷ· 2
σπουδαίως βοηθεῖ.

ρξδ'. Σάπων ἀποκρουσΊικός. — ΒαλαυσΊίων γο α', ἀλόης, κηκῖ- 1
δος, σΊυπΊηρίας, λιβάνου, φύλλου, σιδίων, κόσΊου ἀνὰ γο α', νάρ-
δου σΊάχυος γο α', σαρκοκόλλης γο α', σάπωνος γαλλικοῦ γο ϛ',
θέρμων πικρῶν ἀπόζεμα ὅσον αὔταρκες. Ἔνιοι δὲ προσΊιθέασι 2
σμύρνης γο α', κυτίνων γο α'.

ρξε'. Δρώπαξ Γάλλος. — Κολοφωνίας τῆς λιβανωτιζούσης λ̸ δ', 1
πιτυΐνης λ̸ δ', καὶ τῆς ξυλώδους καλουμένης ἐν Ἰταλίᾳ μόνῃ γινο-
μένης λ̸ δ', ἀποχύματος, πίσσης ξηρᾶς λ̸ δ', κηροῦ λ̸ δ', φρυκτῆς λ̸ ιε',
πίσσης βρυτΊίας λ̸ β', νίτρου λ̸ α', ἀσφάλτου, χαλβάνης, ἀδάρκης,
πυρέθρου ἀνὰ γο ϛ', ὀποπάνακος, εὐφορβίου, ἐλλεβόρου λευκοῦ,
πεπέρεως ἀνὰ γο δ', θείου ἀπύρου γο γ', κασΊορίου, ἀμμωνιακοῦ,
σΊαφίδος ἀγρίας ἀνὰ γο β', ἐλαίου σικυωνίου λ̸ α', ὀποβαλσάμου
γο ϛ'.

ρξϛ'. Ἄλλο ἁπλοῦν. — Κηροῦ λ̸ α', πίσσης ξηρᾶς λ̸ S'', πίσσης 1
βρυτΊίας λ̸ α', πιτυΐνης λ̸ α', φρυκτῆς λ̸ α' γο γ'.

ρξζ'. Ψίλωθρον. — Ὄρυζαν, κυάμινον ἄλευρον, πΊισάνην ἕψει 1
ἐν ὕδατι, καὶ τῷ χυλῷ τούτων χρησάμενος ἀντὶ ὕδατος μίσγε ἀρσε-
νικοῦ γο α', ἀσβέσΊου λ̸ α', καὶ μετὰ ταῦτα μίγνυε σμύρνης γο α',
μασΊίχης γο α', κισήρεως ὀπΊῆς γο S'', ὀποβαλσάμου κοχλιάρια β'.

5. γο α' ἢ γ' BP. — Ib. Κόψ. καὶ σ. om. BP. — Ch. 163; l. 8. λουτροῖς A. — 9. σπ.] καὶ ταχέως A. — Ch. 164; l. 11. κόσΊ. om. ABP. — 11-12. ν. σΊ. γο α' om. BP. — 13. δέ om. A. — Ch. 165; l. 16. καλ. καὶ ἐν BP. — Ch. 166; l. 23. π. ξ. λ̸ S'' N; om. Codd. gr. — Ch. 167; l. 27. καὶ... γο α' om. BP.

ρξη'. Πρὸς ῥυτίδωσιν ἐκ τῶν Ῥούφου σμῆγμα· συνεχῶς σμηχόμε-
1 νον τὸ ῥυσὸν σῶμα τούτῳ τείνεται. — Σύκοις ἅμα πίοσι βρυωνία
κόπτεται καὶ ἄλευρα ὀρόβων κεκαυμένα, σηπίας ὄστρακα, μέλιτος
ἐπισταζομένου βραχέος.

1 ρξθ'. Σμῆγμα λαμπρυντικὸν καὶ χνοῦν ἀφαιροῦν. — Κυάμων
ἀλεύρου χ° β', κισήρεως καθαρᾶς χ° β', σεμιδάλεως χ° β', ἀφρο-
νίτρου λευκοῦ χ° β', μαράθρου ἑψηθέντος εἰς πτισάνην καὶ ἀποπλυ-
θέντος ὕστερον ὀξυμέλιτι, εἶτα κοπέντος καὶ σησθέντος χ° β',
2 σάπωνος γαλλικοῦ λ̸ β'. Μίγνυε τὸν σάπωνα εἰς τὰ λοιπὰ ἐπι-
θρύβων ταῖς χερσὶ, καὶ κέχρησο ἐν βαλανείῳ.

ρο'. Στοματικά. — Φιλαγρίου πρὸς τὰς ἐν τῷ στόματι ἀνα-
1 βρώσεις. Σχίνου καρποῦ μηδέπω μελανθέντος ∠δ', κηκῖδος ∠δ',
κόστου ∠α', φύλλου ∠α'.

ροβ'. Σμῆγμα εὐῶδες ὀδόντων, ἵνα καὶ λευκοὶ ὦσι καὶ μὴ βι-
1 βρώσκωνται. — Νίτρου, σηπίας ὀστράκου, σμύρνης ἀνὰ γο α'.
2 Λείοις χρῶ.

1 ρογ'. Τὸ διὰ μόρων ὡς Γαληνός. — Μέλιτος κο. α', τῶν μόρων
τοῦ χυλοῦ κο. ε', κρόκου ∠α' S″, σμύρνης ∠α' S″, στυπτηρίας σχιστῆς
2 τριώβολον, ὀμφακίου γο α', οἴνου αὐστηροῦ κο. α'. Εἰ δὲ μὴ ἔχεις
3 ὀμφάκιον, ἀντὶ αὐτοῦ ῥοῦ χυλὸν ἔμβαλλε. Προέψεσθαι δὲ χρὴ τὸν
χυλὸν αὐτὸν κατὰ ἑαυτὸν μόνον ἄχρι γλοιοῦ σχῇ πάχος, εἶτα οὕτω
προσβάλλειν τὸ μέλι, καὶ ἐπειδὰν ἤδη μέλλῃς αἴρειν τὴν κακκάβην,
4 κινεῖν ἄχρι πάντα ἑνωθῇ καλῶς. Ἡ μὲν οὖν τοῦ μέσου τῇ δυνάμει
φαρμάκου συμμετρία τε καὶ ἕψησις ἁρμόττουσα ταῖς μετρίαις φλεγ-
μοναῖς καὶ ταῖς τῶν μειζόνων ἀκμαῖς, ἔτι τε πρὸς ἀρχάς τε καὶ

Ch. 168; l. 3. ἄλευρον ὀρόβου κεκαυμένον BP. — Ib. ὄστρακον BP. — Ch. 169; l. 5. χοῦν BP. — 6-7. κισ..... λ. χ° β' om. BP. — 8. καὶ σησθ. om. BP. — Ch. 170; l. 11. τῷ om. A. — Ch. 171. Vide p. 133 var. lectt. — Ch. 172; l. 14. καί ante λευκ. om. F. — Ch. 173; l. 17. κο. α' Gal.; λ̸ α' Codd. — 18. κοχλιάρια ε' BP. — Ib. κρ. ∠α' S″ Gal.; κρ. γο α' S″ F; κρ. γο S″ BP. — Ib. σμ. ∠α' S″ Gal.; σμ. γο α' S″ Codd. — 18-19. στ. σχ. τριώβ. Gal.; om. Codd. — 19. κο. ε' Codd. — 20. Προεψεῖν BP. — 22. αἴρειν] ἐκβαλεῖν BP. — 23-24. τοῦ μ. τῇ δ. τοῦ φαρμ. F. — 25. ἔτι τε τὸ πρός Gal.; εἴτε πρός Codd.

αὐξήσεις αὐτῶν ἁρμόττον Φάρμακον εἴρηται· πρὸς δὲ τὰς σκληρυ-
νομένας Φλεγμονὰς, ὅταν ἤδη παύσηται μὲν ἡ ἀκμὴ, καὶ μηκέτι
ἐπιῤῥέῃ μηδὲν, ἥκῃ δὲ τοῦ διαφορεῖν ὁ καιρὸς, ἐπιμίγνυσθαι προσ-
ήκει τῷ σ7οματικῷ Φαρμάκῳ τῶν διαφορητικῶν ἔνια· ἀρκεῖ δὲ τῇ
προειρημένῃ τοῦ μέσου συμμετρίᾳ μιχθῆναι λίτρου ∠δʹ, θείου ∠δʹ.

ροδʹ. Ἡ διὰ τοῦ βησασᾶ σ7οματικὴ διάχρισ7ος ἔνδοξος πρὸς
συνάγχας τὰς ἀπηλπισμένας. — Ἀνήσσου σπέρματος, σελίνου 1
σπέρματος, ἄμμεως σπέρματος, σχοίνου ἄνθους, σ7υπ7ηρίας σχι-
σ7ῆς, ἴρεως, βησασᾶ ὅ τινες ἁρμαλᾶ καλοῦσι, κινναμώμου, σμύρ-
νης τρωγλοδύτιδος, ἀρισ7ολοχίας μακρᾶς, κασίας, κροκομάγματος,
ῥόδων ξηρῶν ἀνὰ γο αʹ, κόσ7ου, χελιδόνων νοσσίας σποδοῦ προσ-
Φάτου ἀνὰ γο γʹ, κρόκου γο αʹ, νάρδου ἰνδικῆς, ἀμώμου γο Sʺ,
κηκῖδας ηʹ. Λείοις σὺν μέλιτι χρῶ· ἐπὶ δὲ τῆς χρείας ἄνιε μέ- 2
λιτι. — Καρκίνοι ποτάμιοι κεκαυμένοι ἐν ὕδατος ψυχροῦ κο. αʹ 3
λειωθέντες καὶ διηθούμενοι συναγχικῶν ἀναγαργάρισμα κράτισ7όν
ἐστιν· παχέα γὰρ ἄγει συχνὰ ὥσ7ε ἐπικουφίζειν αὐτίκα.

ροεʹ. Πρὸς συνάγχην. — Κυνείαν κόπρον λευκὴν λαβὼν ξήρα- 1
νον, καὶ λεάνας σῆσον, καὶ ἔχε ἕτοιμον· ἐπὶ δὲ τῆς χρείας ἄνιε
μέλιτι καὶ διάχριε. Ἰσχυρότερον τούτου τοῦ Φαρμάκου οὐδὲν ἔγνων, 2
οὔτε ἐπὶ συναγχικῶν, οὔτε ἐπὶ παρισθμίων μεγάλῃ Φλεγμονῇ καὶ
ἀντιάδων κινδυνευόντων πνιγῆναι. Ὅταν δὲ ὀσ7ᾶ βεβρωκότες ὦσιν 3
οἱ κύνες, λευκή τέ ἐσ7ιν ἡ κόπρος καὶ ἀρίσ7η.

ροςʹ. Πρὸς κιονίδα κεχαλασμένην. — Μέλιτος λ αʹ, σ7υπ7ηρίας 1
ὑγρᾶς λ αʹ, ῥόδων ἄνθους λ αʹ, ὑποκισ7ίδος χυλοῦ γο εʹ. Ἕψε τὴν 2
σ7υπ7ηρίαν μέλιτι, εἶτα τὰ ξηρὰ ἔμβαλλε καὶ οὕτω χρῶ· ἕψε δὲ
ἐπὶ ὀλίγον. Καλόν ἐσ7ιν ὄντως τὸ Φάρμακον τοῦτο, καὶ δεῖ χρῆ- 3
σθαι τρισὶ τρόποις αὐτῷ· εἷς μὲν γὰρ τρόπος χρήσεώς ἐσ7ι, καὶ

1. αὐτῶν Gal.; αὔτη Codd. — 1-2. σκληρυνομ. Gal.; σκληρουμ. Codd. — 2. παύσηται Gal.; παύηται F; παύεται BP. — 5. λίτρου ∠ ex em.; λίτραι Codd. Cf. Gal. — Ch. 174; l. 8. ἀμμ. σπ. om. BP. — 11. νοσσιᾶς BP. — 13. ηʹ] γʹ BP. — 14. ποταμιαῖοι BP, et sic fere semper. — Ib. κεκαυμ. L N Aët.; om. Codd. gr. — 16. συχνάκις BP. — Ch. 175; l. 17. κυνάγχην BP. — 20. μεγάλης Φλεγμονῆς BP. — Ch. 176; l. 23. Μ. λ βʹ BP. — 25. σὺν μέλ. BP.

μάλισʇα ἐν ἀρχῇ, διαλύοντας τὸ Φάρμακον ἢ διὰ ὕδατος θερμοῦ, ἢ
διὰ ὑδρομέλιτος, ἀνακογχυλίζεσθαι· καὶ γὰρ παρηγορητικόν ἐσʇι
τοῦτο καὶ τὸ δέον ἀνύει· μεταξὺ δὲ τῆς τοιαύτης χρήσεως καὶ ἀκράτῳ
τῷ Φαρμάκῳ χρῆσθαι προσήκει, τοῦτο μὲν διαχρίοντα τοῖς δακτύ-
λοις, τοῦτο δὲ διὰ κοχλιαρίου προσαπʇόμενον μετὰ τοῦ ἀναπιέζειν
καὶ ἅμα πρὸς τοὐκτὸς ἄγειν τὴν κιονίδα· συμΦέρει γὰρ ὡς ὅτι
μάλισʇα πρὸς τὴν γλῶτʇαν αὐτὴν ἐπιῤῥέπειν, ἀποχωροῦσαν τῆς
εὐθύτητος.

1 ρζ'. Εἰ λίνα πλείονα, καὶ μάλισʇα τῶν ἀπὸ τῆς θαλατʇίας πορ-
Φύρας περιβαλὼν ἐχίδνης τραχήλῳ πνίξειας αὐτοῖς τὴν ἔχιδναν,
εἶτα περιάπʇοις ἕκασʇον τῶν λίνων τῷ τραχήλῳ, θαυμασʇῶς ὅπως
2 ὀνίνησι παρίσθμιά τε καὶ ὅσα περὶ τράχηλον ἐκβλασʇάνει. Γαλη-
νὸς ἐπαινεῖ τοῦτο.

1 ρη'. Ὀδόντων προφυλακτικόν. — Κέρατος ἐλαφείου κεκαυμέ-
νου καὶ πεπλυμένου μέρος ἕν, μασʇίχης χίας τὸ ἥμισυ, κυπέρου τὸ
2 τρίτον. Κόψας εὖ μάλα καὶ σήσας χρῶ.

1 ρθ'. Πρὸς σειομένους ὀδόντας. — Στυπʇηρίαν σʇρογγύλην
2 μετὰ ἁλὸς διπλοῦ περίπλατʇε τοῖς ὀδοῦσιν. — Ἢ πʇελέας Φλοιὸν
ἐν οἴνῳ ἑψήσας διακράτει.

1 ρπ'. Πρὸς χείλη κατεῤῥωγότα. — Κηκῖδα ὀμφακῖτιν λείαν ἀνα-
2 λάμβανε τερμινθίνῃ, ἢ οἰσύπῳ, ἢ μέλιτι, καὶ ἐπίχριε. — Πρὸς δὲ
τὰς βαθυτέρας ἐπιῤῥήξεις ἐπάλειφε λίπει αἰγείῳ τεθεραπευμένῳ, ἢ
βοείῳ, ἢ μυελῷ βοείῳ, ἢ σʇέατι χηνείῳ.

1 ρπβ'. Ἀντίδοτοι. — Πρὸς κολικούς. Λύκου κόπρον ἐπότιζέ τις
τοὺς κολικοὺς, οὐ μόνον ἐν τοῖς παροξυσμοῖς, ἀλλὰ καὶ ἐν τοῖς δια-
2 λείμμασιν, ὅσοι γε χωρὶς Φλεγμονῆς ἔπασχον. Εἶδόν τινας αὐτῶν
μηκέτι ἁλόντας τῷ παθήματι, τοὺς δὲ ἁλόντας οὐδέποτε αὖθις ἰσχυ-

4. τῷ Gal.; om. Codd. — Ib. διαχρίοντα Gal.; διαχρίοντας Codd. — Ch. 177; l. 10. ἐπιβαλὼν BP. — 11. τῶν λίνων ad Eun. Gal.; λῖνον BP; λινόν F. — 12. περιτράχηλα BP. — Ch. 178; l. 14. ἐλάφου BP. — 15. τὸ ἥμισυ μέρος BP. — Ib. τό post κυπ. om. F. — Ch. 180; l. 20. Πρὸς ...κατεῤῥ. om. BP. — 21. ἤ ante οἰσ. om. BFP. — 23. ἢ μ. β. om. BFP. — Ib. σʇέατι om. BP. — Ch. 181. Codd. hic iterum exhibent cap. 170. — Ch. 182; l. 25. τούς om. F.

ρῶς παθόντας, ἀλλὰ οὐδὲ μετὰ ὀλίγον χρόνον. Ἐλάμβανε δὲ τὴν 3
λευκοτέραν κόπρον ἥ τις ὀστοφαγούντων ἀποκρίνεται. Ἐθαύμασα 4
δὲ αὐτῆς ὅτι καὶ περιαπτομένη πολλάκις ἐναργῶς ὠφέλησεν. Ἐλάμ- 5
βανε δὲ οὗτος τὴν κόπρον οὐδὲ πεπτωκυῖαν ἐπὶ τὴν γῆν· οὐ χαλε-
πῶς δὲ γίνεται τοῦτο· φύσιν γὰρ ἔχει τὸ ζῷον καθάπερ ὁ κύων,
ἐπαίρων τὸ ἕτερον τῶν ὀπισθίων σκελῶν οὐρεῖν καὶ ἀποπατεῖν
πρός τι τῶν ἐξεχόντων τῆς γῆς. Εὑρίσκεται δὲ ἐν ταῖς κόπροις αὐ- 6
τῶν καὶ αὐτῶν τῶν ὀστῶν μόρια, καὶ αὐτὰ ταῦτα κόπτων καὶ λειῶν
ἐδίδου πίνειν τοῖς κολικοῖς. Ἐπὶ δὲ τῶν καθαριωτέρων ἀλός τι 7
ἐμίγνυε καὶ πεπέρεως, ἐδίδου δὲ ἐν οἴνῳ λεπτῷ· ἔστι δὲ ὅτε καὶ
ἐν ὕδατι. Τὸ δὲ οὖν περιαπτόμενον τῆς κόπρου ταῖς λαγόσι περιῆ- 8
πτεν ἄρτημα ἔχον, μάλιστα μὲν ἀπὸ βοὸς ἢ προβάτου λυκοβρώτου
γεγονός· εἰ δὲ μὴ, ἐκ δέρματος ἐλαφείου, περιελιττομένου τοῦ
ἱμάντος ταῖς λαγόσιν. Καὶ αὐτὸ δὲ τὸ περιέξον ἐκέλευσεν εἶναι ἐκ 9
δέρματος ἐλαφείου. — Ἡ Φίλωνος πρὸς κολικοὺς ἀνώδυνος.] Κρό- 10
κου ∠ε', πυρέθρου ∠α', εὐφορβίου ∠α', νάρδου στάχυος ∠α', πε-
πέρεως λευκοῦ ∠κ', ὑοσκυάμου ∠κ', ὀπίου ∠ι'. Τοῦτο τὸ φάρμακον 11
ἔνδοξόν ἐστιν.

ρπγ'. Ἡ τρίγωνος ἀναξηραντικὴ ἀνώδυνος. — Ὑοσκυάμου σπέρ- 1
ματος ∠δ', σελίνου σπέρματος ∠δ', ἀνίσου ∠β', ὀπίου ∠α'. Σὺν 2
ὕδατι ἀνάπλαττε τροχίσκους τριωβολιαίους· δίδου σὺν ψυχρῷ πρωῒ
καὶ ἑσπέρᾳ ἕνα καὶ ἕνα.

ρπδ'. Πρὸς τοὺς ἐκκαιομένους καταπότιον ἐκ τῶν Διοσκορίδους.
— Σικύου ἡμέρου σπέρματος ∠η', ἀνδράχνης ∠η', τραγακάνθης 1
∠δ'. Διάλυε τὴν τραγάκανθαν ᾠῶν ὠμῶν προσφάτων τῷ λευκῷ, καὶ 2
ὅταν διαλυθῇ, τρίψας ἐπιμελῶς καὶ μίξας ἀνάπλασσε καταπότια καὶ

3. αὐτήν BP. — 6. σκελῶν Gal.; σκέλος Codd. — 7-8. αὐτῶν] τῶν ζώων BP. — 8. αὐτά om. BP. — Ib. ταῦτα om. F. — 10. καὶ ἐδ. ἐν BP. — Ib. οἴ. καθαρῷ λεπτῷ BP. — 11. οὖν om. BP. — 12. ἔχον ex em.; ἔχουσαν Codd. — 16. πυρ. ∠α' LN Gal.; πυρ. ∠δ' Codd. gr, — 17. λευκοῦ om. BP. — Ib. χ α', ὑοσκυάμου BP. — Ch. 183; l. 20. σελίνου σπέρματος ∠δ' LN Gal.; om. Codd. gr. — 21. τριωβολιαίους LN; τέταρτον BP; om. F. — 22. καὶ ἕνα Gal.; om. Codd. — Ch. 184; l. 24. ἀνδράχνης ∠η' Gal.; om. Codd.

ξήραινε ἐν σκιᾷ, καὶ δίδου ἓν ὑπὸ τὴν γλῶσσαν κατέχειν καὶ τὸ
διαλυόμενον ὑγρὸν καταπίνειν.

1 ρπε'. Πρὸς τεταρταίους Γαληνοῦ. — Ὀποῦ κυρηναϊκοῦ, πεπέ-
2 ρεως, σμύρνης, πηγάνου φύλλων ἀνὰ ∠α'. Λειώσας καὶ μίξας ἀνα-
λάμβανε καὶ χρῶ πρὸ τῆς ἐπισημασίας ἐν ὀξυμέλιτι διδοὺς ὀβολοὺς
δύο μόνους.

1 ρπϛ'. Πρὸς λυσσοδήκτους. — Καρκίνων ποταμίων ἡ τέφρα
θαυμασΊως ἐπὶ τῶν λυσσοδήκτων ὠφελεῖ, καὶ μόνη μὴν, ἀλλὰ καὶ
μετὰ γεντιανῆς τε καὶ λιβανωτοῦ, ὡς εἶναι τοῦ λιβανωτοῦ μὲν μίαν
2 μοῖραν, πέντε δὲ τῆς γεντιανῆς καὶ τῶν καρκίνων δέκα. Καίεσθαι
δὲ τοὺς καρκίνους οὕτως· κατὰ λοπάδα ἐξ ἐρυθροῦ χαλκοῦ ζῶντας
ἐπιτιθέντας τοὺς καρκίνους καίειν δεῖ μέχρις οὗ τεφρωθῶσιν ὡς εὐ-
κόλως λειοῦσθαι· καίειν δὲ μετὰ κυνὸς ἐπιτολὴν, ἡνίκα ἐν λέοντι
μὲν ὁ ἥλιος, ὀκτωκαιδεκαταία δὲ ἡ σελήνη· πίνειν δὲ [διδόναι] κατὰ
ἑκάσΊην ἡμέραν τὸ φάρμακον τοῦτο τοῖς λυσσοδήκτοις ἄχρι τῆς τεσ-
3 σαρακοσΊῆς, ἐπιπάσσοντα ὕδατι κοχλιάριον εὐμέγεθες. Εἰ δὲ οὐκ
ἐξ ἀρχῆς, ἀλλὰ μετὰ ἡμέρας τινὰς τοῦ δηχθῆναι προνοῇ τοῦ δε-
4 δηγμένου, δύο κοχλιάρια κατὰ ἡμέραν ἐπίπασσε. Χρῆσθαι δὲ κατὰ
αὐτοῦ τοῦ τραύματος τῷ διὰ τῆς βρυτΊίας πίτΊης φαρμάκῳ, μίαν
μὲν λαμβάνοντι τῆς πίτΊης λίτραν, ἕνα δὲ ὄξους δριμυτάτου ξέσΊην
5 ἰταλικὸν, ὀποπάνακος δὲ γο γ'. Τούτοις Αἰσχρίων ἐχρῆτο, καὶ οὐ-
δεὶς οὐδέποτε ἀπέθανεν.

1 ρπζ'. Πρὸς τοὺς ἀπὸ μυκήτων πνιγομένους. — Ἐπὶ μυκήτων
πνιγόντων καλῶς ποιεῖ τὸ ἀφρόνιτρον, καὶ νίτρον δὲ κεκαυμένον
2 καὶ ἄκαυσΊον. — Ὁμοίως δὲ καὶ ἀλεκτορίδων κόπρῳ ἐπί τινων ὑπὸ
μυκήτων ἐδωδῆς πνιγομένων ἐχρησάμην ἐπιπάτΊων λελειωμένην

2. *διαλυμένον* BP. — Ch. 186; l. 8. *θαυμασίως* AF. — Ib. *μήν* ex em.; *μέν* Codd. — 14. *ὁ* om. BFP. — Ib. *δέ* ante *ἡ* om. ABP. — Ib. [*διδόναι*] e Gal. Aët. qui habent *ἐδίδου*; om. Codd. — 15. *τοῖς λυσσοδήκτοις* Gal. Aët.; *τοὺς λυσσοδήκτους* Codd. — 16. *ἐπιπάσσων* BFP. — 19. *πράγματος* BP; *φαρμάκου* A 1ª m.; *ἕλκους* 2ª m. — 22. *ἀποθανεῖται* A. — Ch. 187; l. 24. *πνιγομένων* BFP. — Ib. *δέ* om. BFP. — 24-25. *κεκαυμένον καὶ ἄκαυσΊον* om. BP. — 25. *δὲ καί* om. BFP. — 25-26. *ἐπὶ.....πνιγομένων* om. BP. — 26. *ἐδωδῆς* om. A. — Ib. *ἐχρησάμην δ' ἐγὼ ἐπιπάτΊων* BP.

κυάθοις τρισὶν ἢ τέτρασιν ὀξυκράτου τε καὶ ὀξυμέλιτος, καὶ προ-
φανῶς ὠφέλησε διὰ ταχέων· ἤμεσαν γὰρ ὀλίγον ὕστερον οἱ πνι-
γόμενοι φλεγματώδη καὶ παχύτατον χυμὸν, ἐπὶ ᾧ τελέως ἐπαύ-
σαντο τοῦ συμπτώματος. — Καὶ καλαμίνθης δὲ χυλὸς ἢ ἀπόζεμα 3
πινόμενον ὠφελεῖ καὶ θεραπεύει.

ρπη'. Πρὸς ἐπιληπτικοὺς τὸ διὰ σκίλλης. — Μελιτηρὸν ἀγγεῖον 1
οὐκέτι ἔχον μέλι παρασκευάσας ἐμβάλλω σκίλλαν εἰς λεπτὰ διαθρύ-
ψας ταῖς χερσὶν, εἶτα πωμάσας στεγανῷ πώματι, καὶ περιθεὶς ἔξω-
θεν ὅλῳ τῷ στόματι τοῦ ἀγγείου δέρμα, καὶ δήσας ἀκριβῶς, ἐν χωρίῳ
κατατίθεμαι πρὸς μεσημβρίαν μὲν ἐστραμμένῳ, σκεπομένῳ δὲ ἀπὸ
τῶν βορείων πνευμάτων ὡς μηδὲ ὅλως ὑπὸ αὐτῶν καταπνεῖσθαι.
Ποιῶ δὲ τοῦτο κατὰ τὴν τοῦ κυνὸς ἐπιτολὴν ἐν ταῖς τεσσαράκοντα 2
ἡμέραις· ἀτρέμα δέ πως ἔν τισιν αὐτῶν ὑπαλλάττων τοῦ κεραμίου
τὴν θέσιν, θερμαίνεσθαι κατὰ πᾶν μέρος ὁμοίως αὐτὸ βουλόμενος,
εἶτα μετὰ τὸν χρόνον τῶν τεσσαράκοντα ἡμερῶν εὑρίσκω λύσας τὸ
ἀγγεῖον ἡψημένῳ παραπλήσιον τὸ σῶμα τῆς σκίλλης, ἐξεῤῥυηκότα
δὲ τὸν χυλὸν αὐτῆς, ὃν ἀνελόμενος ἡδύνω μέλιτι καλλίστῳ καὶ δί-
δωμι τοῦτο κατὰ ἑκάστην ἡμέραν κοχλιάριον μεστὸν, τοῖς μὲν παι-
δίοις μικρὸν, τοῖς δὲ τελείοις μέγα. Καὶ μέντοι καὶ τὸ σωματῶδες 3
τῆς σκίλλης κόψας καὶ λειώσας μετὰ μέλιτος δίδωμι κοχλιάριον
ἓν ὥσπερ εἴρηται. Δευτέραν δύναμιν τοῦτο τοῦ πρόσθεν ἔχειν γί- 4
νωσκε.

ρπθ'. Πρὸς φωνῆς ῥῶσιν τροχίσκος. — Νάπυος πεφρυγμένου 1
καὶ σεσησμένου λεπτοτάτῳ κοσκίνῳ μέρη τρία, πεπέρεως λεπτο-
τάτου μέρος ἕν. Μέλιτι ἀναλαμβάνεται ἀπέφθῳ, καὶ γίνονται τρο- 2

1. τε om. A. — 3. καί om. A. — 5. ὠφελεῖ καί om. BFP. — Ch. 188; l. 6. ἐπιλήπτους A. — 7. ἐμβάλλω Gal.; ἐπίβαλλε Codd. — Ib. λεπτότατα A. — 9. δέρμα Gal.; τὸ δέρμα Codd. — Ib. ἰσχυρῶς A. — 10. κατατίθημι ABP. — Ib. ἀπό ex em.; ὑπό Codd. — 12. τοῦτο om. BP. — Ib. ταῖς Gal.; om Codd. — 13. κεράμου A. — 15. μετὰ τὴν μ' ἡμέραν A. — Ib. εὕρισκον BFP. — 16. παραπλησίως BP. — Ib. ἐξεῤῥυέν A. — 17. ἡ δύνωμαι τὸ καλλίστῳ BP. — 18. τούτῳ F. — Ib. ἡμέραν om. BP. — 18-19. παισί A. — 20. καί om. BFP. — 21. ὥσπερ εἴρηται om. A. — Ch. 189; l. 25. ἀναλάμβανε A.

3-4 χίσκοι ὀϐολιαῖοι. Ἕνα τροχίσκον κατεσθίειν δεῖ. Δῆξιν καὶ πύ-
ρωσιν οὐκ ὀλίγην ἀνίστησιν, ἀλλὰ τὴν ἀρτηρίαν ποιεῖ λείαν εἶναι.
1 ρζ'. Ἄλλο. — Ὑπὸ τῇ γλώττῃ κρατεῖται κυάμου μέγεθος ὥστε
καταπίνειν ἐπὶ σχολῆς τὸ τηκόμενον, καὶ σφόδρα τὴν ἀρτηρίαν
2 λεαίνει τε καὶ ἀνδρειοῖ· ποιεῖται δὲ οὕτως. Γλυκυῤῥίζης ∠ιϐ', κα-
σίας ∠δ', κρόκου, σμύρνης, φύλλου, νάρδου κελτικῆς, λιϐανωτοῦ,
3 ὑποκιστίδος χυλοῦ, λυκίου, κόμμεως ἀνὰ ∠ϐ'. Τὰ μὲν κόπτεται,
τὰ δὲ τρίϐεται, καὶ μέλιτι ἀττικῷ πάντα καταμίγνυται, συμμι-
χθείσης αὐτοῖς τερμινθίνης ∠ϐ'.
ρζα'. Ἡ διὰ ὀπωρῶν πρὸς δυσεντερικοὺς καὶ κοιλιακούς. —
1 Ῥοιαὶ ὁλόκληροι κ', μῆλα κυδώνια κ', ῥόδων ξηρῶν ℔ α', προύμνων
ἀγρίων ℔ ϐ', οὔων ἐπετείων ℔ ϐ', ἄπιοι ταρεντῖναι κ', μῆλα σκαν-
διανὰ λ', ῥοῦ συριακοῦ ℔ γ', γλεύκους ἀμιναίου ἀφηψημένου εἰς τὸ
2 τρίτον ℔ μη'. Ἕψε ὁμοῦ ἕως σχῇ μέλιτος πάχος, καὶ ἀποτίθεσο ἐν
ὀστρακίνῳ καινῷ.
1 ρζϐ'. Ἀντίδοτος ἡ Κοΐντου ἀνώδυνος. — Στύρακος, ἀσάρου,
ὀπίου, ὑοσκυάμου σπέρματος, καστορείου ἴσα μέλιτι ἀναλάμϐανε.
1 ρζγ'. Ὁ διοσπολίτης ἐνίοτε μὲν ἐξ ἁπάντων ἴσων σκευάζεται,
κυμίνου τε καὶ πεπέρεως μακροῦ ἢ λευκοῦ καὶ πηγάνου καὶ νίτρου,
καὶ ἔστι μᾶλλον οὕτως ὑπακτικώτερος γαστρός· ἐνίοτε δὲ τῶν μὲν
2 ἄλλων ἴσον ἑκάστου μίγνυται, λίτρου δὲ τὸ ἥμισυ. Ἐναποϐρεχέ-
σθω δὲ τὸ κύμινον ὄξει δριμυτάτῳ, κἄπειτα εὐθέως τριϐέσθω, ἢ
3 πρότερον φρυγέσθω μετρίως. Ἔστω δὲ καὶ τὰ τοῦ πηγάνου φύλλα
4 προανεξηραμμένα συμμέτρως. Τούτοις τοῖς τέτταρσιν ἐνίοτε μὲν

1. ὀϐολαῖοι A. — Ib. Δ. δὲ καί A. — Ch. 190; l. 3. τῆς γλώσσης (γλώττης P) BP. — Ib. μεγέθει A. — 5. ποι.] γίνεται A. — Ib. ιϐ'] β' A. — 7. Τὰ μὲν δὲ κόπτ. BP. — 8. τὰ δὲ καὶ τρ. A. — 9. αὐτῷ BFP. — Ch. 191; l. 12. ἄπιοι Gal.; ἀπίους AF; ἄπια BP. — Ib. ταρεντ. ex em.; τερεντίνας A; τερεντίους F; τερεντῖνα BPLN. — 12-13. σκανδ. om. A. — 14. ἀποτιθέσθω A. — Ch. 192; l. 17. καστορίου BFP. — Ch. 193; l. 18. Ἀντίδοτος ὁ διοσπολίτου A. — 20. οὕτως om. A. — Ib. τῆς γ. A. — 21. νίτρου A. — Ib. τό ad. Eun.; om. Codd. — 21-22. Ἐμϐρεχέσθω BFP. — 22. ἢ om. BFP. — 23. φρυγ. om. BP. — 24. μετρίως BP; om. A. — Ib. τοῖς τέττ. om. A.

ἀναμίγνυται μέλι ϖροαπηφρισμένον· ἐνίοτε δὲ οὐδὲν, ἀλλὰ μόνα
χωρὶς τοῦ μέλιτος ἀποτεθέντα ϖλισάνης ἐμβάλλεται χυλῷ, ἢ ὅτῳ
ϖερ ἂν τῶν ἐδεσμάτων δόξῃ.

ρζδʹ. Τὸ *διὰ τριῶν ϖεπέρεων τὸ ἁπλοῦν ἐσʼτι τοιόνδε.* — Εἰς 1
ϖεντήκοντα ∠ *ἑκάσʼτου τῶν τριῶν ϖεπέρεων ἀρκεῖ μιγνύειν ἀνίσου*
τε καὶ θύμου καὶ ζιγγιβέρεως ἑκάσʼτου ∠*ηʹ.*

ρζεʹ. Τὸ *διὰ καλαμίνθης.* — Κ*αλαμίνθης καὶ γληχοῦς καὶ ϖε-* 1
τροσελίνου καὶ σεσέλεως ἑκάσʼτου ∠*ιβʹ, σελίνου σπέρματος* ∠*δʹ,*
θύμου κορύμβων ∠*δʹ, λιγυσʼτικοῦ* ∠*ιϛʹ, ϖεπέρεως* ∠*μηʹ, μέλι τὸ*
κάλλισʼτον ἀπηφρισμένον.

ρζϛʹ. Τὸ *διὰ τοῦ χυλοῦ τῶν κυδωνίων.* — Μ*ήλων κυδωνίων τοῦ* 1
χυλοῦ λαβόντας ℥ βʹ, χρὴ μῖξαι μέλιτος μὲν ὡς ὅτι καλλίσʼτου τὸ
ἴσον μέτρον, ὄξους δὲ ℥ αʹ, καὶ ταῦτα ἐπὶ ἀνθράκων διακεκαυμένων
ϖροεψήσαντα μετρίως καὶ ἀπαφρίσαντα μῖξαι ζιγγιβέρεως γο γʹ,
ϖεπέρεως λευκοῦ γο βʹ, καὶ ϖάλιν ἐπὶ τῶν διακεκαυμένων ἀνθρά-
κων ἑψῆσαι μέχρι μελιτώδους συσʼτάσεως.

ρζζʹ. Ἡ Ζ*ηνοφίλου ἀντίδοτος ϖρὸς κύσʼτιν ἡλκωμένην καὶ νε-*
φροὺς, καὶ λίθους θραύουσα ἡ ϖαρὰ τοῦ θεοῦ. — Κ*ασίας σύριγγος* 1
γο αʹ, σαξιφράγου γο δʹ, βετʼτονικῆς, κυπέρου, ϖετροσελίνου, κό-
σʼτου ἀνὰ τριώβολον, λύγου σπέρματος, λινοσπέρμου ϖεφωγμένου
ἀνὰ γο βʹ, φύλλου, νάρδου σʼτάχυος, ἀσάρου, δικτάμνου, δαφνίδων,
ὠκίμου σπέρματος ἀνὰ γο αʹ, σʼτροβίλων γο ϛʹ, ζιγγιβέρεως γο Sʺ,
σελίνου σπέρματος γο αʹ, μέλιτος λ βʹ. Δ*ίδου ἐν λουτρῷ ἢ ϖρὸ λου-* 2
τροῦ διὰ οἰνομέλιτος ἢ χρυσατʼτικοῦ κυάμου τὸ μέγεθος.

ρζηʹ. Κ*αθαρτήρια.* — Γ*αληνοῦ ἡ ϖικρά.* Ἀ*λόης* ∠*ρʹ, κινναμώ-* 1

1. *ἀναμίγν.* om. A. — Ib. *μ. ϖεφυραμένον καὶ ϖροαπηφρ.* BP. — Ch. 195; l. 7. *γληχοῦς* ex em.; *γλίχους* F; *γλίχωνος* A; *γλίχωνα* BP. — 8. *ιβʹ* LN; *βʹ* AF; *ηʹ* BP. — Ch. 196; l. 11. *τοῦ* post *διά* om. BP. — 12. *χρή* om. BP; post *ϖροεψ.* (l. 14) A. — Ib. *μῖξαι* om. A. — 13. *διακεκ.* om. A. — 14. *ζιγγίβερ* F; *ζιζίβερ* BP. — 14-15. *γο γʹ.... γο βʹ* LN Gal.; om. Codd. gr. — 15. *διακεκ.* *ad Eun.*; *κεκ.* BFP; om. A. — Ch. 197; l. 20. *λινοσπέρματος* A. — Ib. *ϖεφρυγμ.* ABP. — 22. *σʼτροβιλίων* BF; *σʼτροβηλίνου* P. — 23. *σελ. σπ. γο Sʺ* A. — Ch. 198; l. 25. Κ*αθαρτ.* om. BP. — Ib. Γ*αλ.* om. F.

μου, νάρδου στάχυος, ξυλοβαλσάμου, μαστίχης, ἀσάρου, κρόκου
2 ἀνὰ ∠ϛ'. Ἐγὼ δὲ ἀλόης μὲν ∠ζ', κρόκου δὲ ∠ε' βαλὼν οὕτως αὐτῷ
3 χρῶμαι. Ἡ δόσις ἐστὶ ∠α'.

1 ρζθ'. Ὑπακτικὴ γαστρὸς ἢ καθαρτική. — Ζιγγιβέρεως, σκαμμωνίας ἀνὰ γο α', ἀλῶν ἀμμωνιακῶν γο δ', ἀλόης γο δ', ὄξους, γάρου ἀνὰ κο. α'.

σ'. Κοκκάρια ὑγιεινὰ στομαχικά, γαστρὸς ὑπακτικὰ μάλιστα·
1 περιγράφει δὲ καὶ τύπους. — Ἀλόης γο α', ἀψινθίου χυλοῦ γο γ',
2 σκίλλης ἐγκαρδίου γο α'. Τὴν σκίλλαν ἐμβαλὼν ζύμῃ καὶ ὀπτήσας ὥστε ἑψηθῆναι, τὴν σκίλλαν ἐξελὼν καὶ ἐξινίσας στάθμισον καὶ βαλὼν εἰς ὅλμον εὐτόνως κόψον ἐπεμβάλλων τὸν χυλὸν τοῦ ἀψινθίου, καὶ τὴν ἀλόην λελειωμένην προσεμπάσας ἀναλάμβανε μαλάξας ὥστε ἑνωθῆναι, καὶ ποιήσας ζύμην ἀνελοῦ, καὶ ἀποθέμενος πλάσσε κοκκάρια ἐρεβίνθου τὸ μέγεθος, καὶ δίδου τοῖς ἀπὸ νόσου μακρᾶς δυσαναλήπτως ἔχουσιν.

1 σα'. Ἄλλο. — Σκαμμωνίας γο α', ἀλόης γο α', κολοκυνθίδος ἐντεριώνης γο ϛ'', βδελλίου ∠γ', μαστίχης, ἀψινθίου χυλοῦ, κράμβης
2 χυλοῦ ἀνὰ ∠β'. Ἀναλάμβανε ὀροβιαῖα, καὶ δίδου ἢ ιϛ', ἢ ιθ', ἢ κα' τοῖς ἔχουσιν ὑγιεινῶς, νοσοῦσι δὲ ἢ ζ', ἢ θ', ἢ ια', ἢ ιγ', ἢ ιε' ἑξῆς
3 ἡμερῶν ε', ἢ ζ', ἢ θ'. Ἐὰν δὲ θέλῃς φλεγμαγωγὰ ποιῆσαι, ἢ εὐ- 2
τονώτερα, πρόσβαλλε τῇ ζύμῃ εὐφορβίου ∠α' εἰς τὸ πᾶν.

1 σβ'. Καθαρτικὸν καλούμενον κοπτάριον. — Σεμιδάλεως ∠α',
2 κώνων ∠δ', πεπέρεως ∠β', σκαμμωνίας ∠γ'. Ἀναλάμβανε μέλιτι
3-4 ἀττικῷ. Ἡ τελεία δόσις ∠β'. Χρῶ καὶ ἐπὶ ἰκτερικῶν.

1 σγ'. Πάστιλλος καθαίρων. — Σκαμμωνίας ∠δ', εὐφορβίου ∠δ', 2
2 πεπέρεως ∠β', φύλλου ∠β', μέλιτος ℥ α'. Ἡ δόσις γο α'.

2. μέν om. A. — Ib. δέ post κρόκου] ἀνά F. — Ib. οὕτως αὐτῷ om. B P. — 3. α' εἰς ὕδωρ A. — Ch. 199; l. 6. β' BP. — Ch. 200; l. 9. ἐγκαρδίου] ἀρκάδος BP. — 11. ἐπεμβαλών F; ἐπιβαλών BP. — 12. προσπάσσας A.; προσεμβάσας BP. — 13. ὥστε] ἕως F. — Ib. λειωθῆναι BP. — Ch. 201; l. 18. ιϛ'] XIII *aut* XV ∠. — 19. ἤ ante ζ' om. BFP. — 20. φλεγμαγωγόν A. — Ch. 202; l. 23. κώνων ex em.; κώνου Codd. — Ib. ∠γ'] ℥ β' BP. — 24. ἰκτερικοῖς B. — Ch. 203; l. 26. πεπέριν A. — Ib. φύλλου ∠ β' N; φύλλου γο β' Codd. gr.

σδʹ. Κοκκία. — Σκαμμωνίας γο αʹ, ἀλόης ∠δʹ, εὐφορβίου ∠δʹ. 1
Ἀναλάμβανε ὕδατι ὀροβιαῖα καὶ δίδου ζʹ, ἢ θʹ, ἢ ιαʹ, ἢ ιγʹ, ἢ ιεʹ, ἢ 2
ιζʹ, ἢ ιθʹ, ἢ κaʹ.

σεʹ. Καθαρτικὸν κολικὸν ὑποκαθαῖρον. — Εὐφορβίου, κυπέρου, 1
πετροσελίνου, ἴρεως ἴσα.

σςʹ. Τὸ συμβιωτάριον. — Σκαμμωνίας γο βʹ, πεπέρεως, ζιγ- 1
γιβέρεως, ἀλῶν, πετροσελίνου ἀνὰ γο αʹ.

σζʹ. Ἐλεφαντιώντων καθαρτικόν. — Κολοκυνθίδας δύο συμμέ- 1
τρους τῷ μεγέθει περίγλυψον, καὶ πῶμα ποιήσαντα τό τε σπέρμα πᾶν ἐκκενώσαντα τὴν ἐντεριώνην ἐᾶσαι δεῖ καὶ γεμίσαι ἐλαίῳ, τῷ ἰδίῳ [δὲ] πώματι πωμάσαι νύκτα τε ἐᾶσαι μίαν· τῇ δὲ ἑξῆς, τοῦ ἐλαίου κενωθέντος, ἑψῆσαι δεῖ τὰς κολοκυνθίδας ἐν ὕδατι ἄχρι τακερωθῶσιν, εἶτα αὐτὰς μὲν ῥῖψαι, τοῦ δὲ ἐλαίου τῷ ὕδατι παραχυθέντος, προσεμβάλλειν μέλανος ἐλλεβόρου τριώβολον, σκαμμωνίας δὲ ∠αʹ, συνεψῆσαι δὲ τούτοις πολτάριον ἐκ σεμιδάλεως, ἔπειτα ἀπὸ αὐτοῦ τῷ πάσχοντι δοῦναι λιτῶς προδιῃτημένῳ μέγεθος καρύων ποντικῶν τεσσάρων καὶ εἴκοσι, καὶ ποτὸν ὕδωρ.

σηʹ. Τὸ διὰ τοῦ ζωμοῦ τοῦ παλαιοῦ ἀλεκτρυόνος καθαρτήριον.
— Ἐξελεῖν δεῖ τὰ ἐντὸς, ἔπειτα ἐμβαλεῖν ἅλας ὥστε ἐμπεπλῆσθαι, 1
καὶ καταῤῥάψαντας ἕψειν ὕδατι πολλῷ βραχὺ μὲν ἐλαίου ἔχοντι,
δαψιλὲς δὲ ἀνήθου καὶ πράσου· συντακέντων δὲ αὐτῶν ἡδὺς καὶ
εὐστόμαχος μὲν, καθαρτικώτατος δὲ ὁ ζωμὸς γίνεται. Διδόσθω δὲ 2
διῃθημένος τὸ ἐλάχιστον κο. βʹ, ἵνα ἄκρως ποιεῖ πρὸς τὰς κεχρονισμένας καταφοράς.

σθʹ. Διάχρισμα ἕδρας πρὸς ἔκδοσιν φυσῶν. — Πήγανον μέλιτι 1
ἑφθῷ συλλειοτριβεῖται, ὥστε ἔγχυλον γενέσθαι, καὶ ἐσωτάτω δια-

Ch. 204; l. 1. Σκ. γο βʹ BP. — Ib. ἀλ. γο δʹ BP. — Ib. εὐφ. γο δʹ A. — Ch. 206; l. 6. βʹ] αʹ BP. — Ch. 207; l. 9. τε ex em.; om. Codd. — 10. ἐκκενώσαντας F; ἐκκενῶσαι δεῖ καί A. — Ib. ἐλ. om. A. — 11. [δέ] om. Codd. — Ib. πωμάσας BP; om. AF. Cf. t. IV, p. 66. — Ib. ν. ἔασον μ. BP. — 13. ῥῖψον BP. — 13-14. παραχυθ.] συμμιχθ. BP. — 15. δέ ante ∠ αʹ om. A. — 16. αὐτῶν F. — Ib. μεγέθει BP. — 17. καὶ π. ὕδ. om. A. — Ch. 208; l. 19. Ἐκβαλεῖν BP. — Ib. ἐμπλησθῆναι BP. — 22. καθαρτικώτερος BP.

2 χρίεται τῆς ἕδρας. Πρακτικώτατον δέ ἐσ7ιν εἰ ϖροσλάϐοι κυμίνου
3 βραχὺ καὶ νίτρου, ἢ κυκλαμίνου χυλοῦ. Καὶ κροκύδι δὲ ἀναληφθὲν
ϖαρεντίθεται· φῦσαι γὰρ ὑπεξίασιν ἱκαναὶ ϖάνυ καὶ κουφίζουσαι.

1 σι'. Ῥούφου ἱερά. — Σικυωνίας ἤτοι κολοκυνθίδος ἐντεριώ-
νης ∠κ', χαμαίδρυος ∠ι', ἀγαρικοῦ ∠ι', σαγαπηνοῦ ∠η', ὀποπάνα-
κος ∠η', ϖετροσελίνου, ἀρισ7ολοχίας σ7ρογγύλης, ϖεπέρεως λευκοῦ
ἀνὰ ∠ε', κινναμώμου, κασίας σύριγγος, νάρδου σ7άχυος, κρόκου,
2 σμύρνης, ϖολίου ἀνὰ ∠δ'. Πάντα ταῦτα μίξας, λεπ7ὰ ϖοιήσας,
μέλιτι δεύσας ἀπόθου, καὶ τὸ ϖλεῖσ7ον δίδου ∠δ'.

1 σια'. Καθαρτικὸν Λύκου. — Σκαμμωνία μετὰ ἁλῶν ὅτι λευκο-
τάτων λειοῦται ἐπὶ ἱκανὸν, ἔπειτα ἕψεται ἐν ϖυξίδι μολιϐδίνῃ ἐν
2 διπλώματι. Τρόπος δὲ τῆς διπλῆς ἑψήσεως ὅδε· ϖυξὶς μολιϐδῆ ἐσ7ι,
τὸ δὲ ἐπίθεμα αὐτῆς ἢ τρῆμα ἢ αὐλὸν ἔχειν ὀφείλει· ἐνταῦθα ἡ μετὰ
τῶν ἁλῶν λελειωμένη βάλλεται σκαμμωνία, καὶ ἐγκαθίσ7αται τὸ
3 ἀγγεῖον τοῦτο λοπάδι ἐρεγμοῦ ϖλήρει. Ἕψεται δὲ ὁ ἐρεγμὸς ἔχων
τὴν μολιϐδῆν ϖυξίδα, ὀξυκράτου ἐπιχυθέντος, καὶ οὐχ ὕδατος, ὅ τε
4 ἐρεγμὸς ἕψεται, καὶ ἡ σκαμμωνία ἱκανῶς ἑψήσεως ἔχει. Ἐπειδὰν
δὲ τοῦτο γένηται, ἀποψῦξαι ἐν τῇ ϖυξίδι τὸ φάρμακον χρὴ καὶ αὖ-
θις λειοῦν, ἢ αὐτὸ κατὰ ἑαυτὸ, ἢ ϖεπέρεως λευκοῦ μίξαντα τοσοῦ-
5 τον ὅσον ἡδῦναι τὸ φάρμακον ἱκανῶς. Οὕτως εἰ μεταχειρίσαιο, ἡ
σκαμμωνία οὔτε τῷ σ7όματι, οὔτε τῷ σ7ομάχῳ ἀηδὴς γίνεται, καὶ
καθαίρει οὐδὲν μεῖον.

1 σιϐ'. Ἄλλο καθαρτικὸν ϖρὸς τοὺς ἐλεφαντιῶντας. — Λαϐὼν κολο-
κυνθίδα καλὴν ἔμϐρεχε εἰς ἔλαιον νύκτα καὶ ἡμέραν, εἶτα ἀποχέας
τὸ ἔλαιον ἕψε ἐν κυθριδίῳ καινῷ τὴν κολοκυνθίδα μετὰ ὕδατος ἕως

1. Πρακτικώτερον A. — Ib. κυμίνου om. A. — 2. ἀναληφθέν Paul.; ἀνάλατος F; ἀνάλατον AP; ἀνάλωτον B. — 3. ϖαρεντίθ. ex em.; ἐντίθεται Paul.; ϖαρατεθέντος F; ϖαρατεθέντα ABP. — Ib. ἐξιᾶσι A. — Ib. κουφίζουσιν A. — Ch. 210; l. 4. κ'] γ' BFP. — 5. σαγ. ∠ϐ', ὀπ. ∠ϐ' A. — 7. κινναμ. ἢ τοῦ διπλοῦ κασ. BFP. — Ib. νάρδου Aët.; om. Codd. Cf. t. II, p. 274. — 7-8. σμ. ἀνὰ ⅹ δ', ϖολίου ⅹ (∠ B) γ' S'' BP. — Ch. 211; l. 14. τό] εἰς BP. — 15-21. τοῦτο ..... σκαμμ.] καὶ ἑψῆται καί BP. — 15-16. ἐρεγμοῦ..... ὅ τε om. F. Cf. t. II, p. 263. — 17. ἑψηθῇ F. — 21. οὔτε τῷ σ7όματι om. BP. — Ch. 212; l. 24-25. νύκτα..... ἔλαιον] καί BP. — 25. ἀγγείῳ BP; κροκύδι F.

ἂν καταλειφθῇ κρασείδιον, καὶ πρόσϐαλλε σεμιδάλεως ὅσον ἐξαρκεῖ ἀναλαϐεῖν τὸ ὕδωρ, καὶ ὅταν ἑψηθῇ, μίγνυε ἐλλεϐόρου μέλανος ∠α', σκαμμωνίας ∠α', καὶ ἀνακινήσας καρφίῳ ἀνήθου ἀνάπλασσε, ὡς ἔσ7ι θερμὸν, ποντικοῦ καρύου μέγεθος, καὶ δίδου καταπίνειν.

σιγ'. Διάχρισμα καθαρτικὸν κινοῦν γασ7έρα. — Στυπ7ηρία 1
σὺν μέλιτι συλλεανθεῖσα ἕψεται ἄχρις οὗ κιῤῥὰ γένηται, καὶ ἐκ
τούτου διαχρίουσι τὴν ἕδραν. Καλεῖται δὲ χεζανάγκη τὸ φάρμα- 2
κον· ῥᾳδίως δὲ πολλὰ μὲν, οὐκ ἀπόνως δὲ προϐιϐάζει.

σιδ'. Θυμιάματα. — Πολτάριον, ἤτοι θυμιατόν. Ῥόδων νεαρῶν 1
℔ ϐ'· εἰ δὲ ξηρῶν, ℔ α' S'', φύλλου, κρόκου, κασίας ἀνὰ γο S'', σ7ύρακος γο α', ἀμώμου γο α', ὄνυχος γο α', σμύρνης γο ϐ', βδελλίου γο α', καρποϐαλσάμου γο α', ἀκακίας γο β', ὀποϐαλσάμου γο β'.

σιε'. Ἄλλο. — Φύλλου γο ε', ἀμώμου ἀνὰ γρ η', καρυοφύλ- 1
λων γρ ϛ', νάρδου σ7άχυος γρ ε', σ7ύρακος γρ S'', ῥόδων γο S'',
σμύρνης γο α'. Λείου τὴν σμύρναν οἴνῳ, καὶ πάντα ἀναμαλάξας 2
ἀνάπλασσε μετὰ βραχέος ὀποϐαλσάμου.

σιϛ'. Θυμίαμα. — Κόσ7ου, ἀμώμου, σμύρνης, κασίας ἀνὰ γο α', 1
σ7ύρακος, ἀκακίας, βδελλίου, ὄνυχος, βρύου, λαδάνου ἀνὰ γο β', ῥόδων κεκαθαρμένων γο κθ'.

σιζ'. Ῥούφου ἡ ἁπλῆ. — Κολοκυνθίδος ἐσ7ὶ ∠ϐ', πρασίου, χα- 1
μαίδρυος, σ7οιχάδος ἀνὰ ∠ι', γεντιανῆς, ἀγαρικοῦ ἀνὰ ∠ιϐ', βδελλίου, νάρδου σ7άχυος, κρόκου, κινναμώμου ἀνὰ ∠η', κασίας, σχοίνου ἄνθους, πεπέρεως λευκοῦ, πεπέρεως μακροῦ, σκίλλης ὀπ7ῆς
ἀνὰ ∠ϛ', κενταυρίου τῆς ῥίζης ∠δ'. Λεῖα πάντα καταμίγνυται διε- 2
θέντι τῷ βδελλίῳ ἀφεψήματι πάνακος καὶ μέλιτι καθέφθῳ.

1. ἂν om. BP. — 3-4. καρφίῳ..... καί] καὶ κοκκία ποιήσας A. — Ch. 213; l. 6. κινεῖ BFP. — 7. λεανθεῖσα BP; λειωθεῖσα A. — Ib. ἕως οὗ BP. — 9. πολλόν BP. — Ib. διαϐιϐάζει A. — Ch. 214; l. 10. θυμιατόν ex em.; θυμιάτων BP; θυμιαμάτων F. — 11. β'] α' BP. — Ib. α' S'' N; β' BP; α' F. — 12. ὄνυχος ex em.; ὀνύχων Codd. — 13. ἀκακίας γο β' N; χίας γο β' F; χίας γο α' BP. — Ch. 215; l. 14-15. Ἄλλο... γρ S'' om. BP. — Ch. 216; l. 19. ἀκακίας e conj.; χίας Codd. Cf. cap. 214, l. 13. — Ib. ὄνυχος, βρύου ex em.; ὀνύχων, βρύον Codd. — Ib. β'] α' BP. — Ch. 217; l. 21. ἐσ7ὶ ∠ϐ' om. F.

1 σιη'. Ξηρόμυρον τὸ ἀραβικόν. — Φύλλου, ἀμώμου, κόστου, ζαρναβᾶ ἀνὰ γο α', καρποβαλσάμου ℷ α'.

1 σιθ'. Θυμίαμα ὑπνοποιόν. — Στύρακος, ἀμώμου, κόστου, ἀμμωνιακοῦ θυμιάματος, βδελλίου σκυθικοῦ, μανδραγόρου ῥίζης, ὀποῦ
2 μήκωνος ἴσα. Θυμία ἐπὶ κυπαρισσίνων ξύλων.

1 σκ'. Κῦφι τὸ σεληνιακόν. — Βδελλίου γο ζ', ἑλενίου γο ζ', σχοίνου ἄνθους γο β', σφάγνου γο ε', ἀρκευθίδας μικρὰς ν', ἀσπαλάθου γο ϛ'', καρδαμώμου γο ε', κασίας σύριγγος γο ε', νάρδου στάχυος γο β', κυπέρου γο θ', ἀσφοδέλου ῥίζης γο δ', κυπαρίσσου σπέρματος γο γ', βράθυος γο δ', νάρδου κελτικῆς γο γ', κόστου γο β', σμύρνης γο ζ', ἰσχάδων λιπαρῶν ℷ β', σταφίδων ἐκγεγιγαρτισμένων ℷ β', στροβίλων γο γ', τερμινθίνης ℷ α', ῥόδων ξηρῶν γο γ', στύρακος γο ζ', φοινίκων λιπαρῶν ℷ α', μέλιτος ℷ ε', οἴνου εὐώδους τὸ ἀρκοῦν.

Ch. 218; l. 2. ζαρναβᾶ ex em.; ζαναζοῦ BP; ζηρναζοῦ F. — Ch. 219; l. 5. Θυμίαμα BFP. — Ib. ἐπί ex em.; ἐπὶ τῶν AF; ἐκ τῶν BP. — Ch. 220; l. 6. σεληνιακόν Paul.; σελήνης Codd. — Ib. ἑλενίου] ὃ λέγεται ῥάσδον F marg. — 7. β'] α' BP. — 8. ϛ''] ζ' BP. — 9. β'] ϛ' BP. — 12. στροβιλίων F.

ΒΙΒΛΙΟΝ Δ'.

α'. Ὅσα λεπτύνει ἐν τροφαῖς.

Σκόροδα, κρόμμυα, κάρδαμα, πράσα, νᾶπυ, πέπερι, σμύρνιον, 1
πύρεθρον, ὀρίγανος, καλαμίνθη, ὕσσωπον, σίον, σισύμβριον, γλή-
χων, θύμον, θύμβρα χλωρὰ προσφερόμενα· ξηρανθέντα γὰρ ἤδη
φάρμακα, καὶ οὐκέτι τροφαί· καθόλου γὰρ πᾶν τὸ ξηρότερον ἰσχυ-
ρότερον τοῦ τεθηλότος ἐστὶ, καὶ ὅσα κατὰ λόφους ἢ ἐν χωρίοις
ἀνυδροτέροις ηὐξήθη τῶν ἐν πεδίοις ἢ κήποις ἢ τέλμασιν ἰσχυρό-
τερα. Ταῦτα μὲν οὖν ὑπὲρ πάντων χρὴ γινώσκειν κοινῇ· τοῖς δὲ 2
εἰρημένοις ἐφεξῆς ἐστιν εὔζωμα, σία, σέλινα, πετροσέλινα, ὤκιμα,
ῥαφανῖδες, κράμβαι, τεῦτλα, σκόλυμος, ἠρύγγιον, κορίαννον, ἀκα-
λήφη, μάραθρον, πήγανον, ἄνηθον, λιγυστικὸν, κύμινον, καπ-
πάρεως καὶ τερμίνθου καρπὸς, τὸ τῆς καροῦς σπέρμα, ἀνίσου,
σίνωνος, ἄμμεως, δαύκου, σεσέλεως, τορδύλου, καὶ πάντων τῶν
εὐωδῶν καὶ δριμέων καὶ θερμῶν ἐπιφανῶς. Τῶν ἰσχυρῶς δὲ λεπτυ- 3
νόντων ἐστὶ τὸ τοῦ πηγάνου σπέρμα καὶ καννάβεως, ὡς εἶναι φαρ-
μακώδη λοιπόν. Τῶν δὲ δημητρίων σπερμάτων εἰς λεπτύνουσαν 4
δίαιταν ἄλυποι κριθαὶ μόναι· δεύτεροι δὲ ἤδη οἱ ἐκ τῶν πυρῶν ἄρ-
τοι κριβανῖται· τῶν δὲ ἄλλων ἀπέχεσθαι πειρᾶσθαι πλὴν εἰ διὰ
μακροῦ χρόνου πίσσου ἢ φακοῦ γεύεσθαί τις ἐθέλοι. Πλείστην δὲ 5
ἂν ἔχοις, εἰ βούλοιο, καὶ ἄφθονον ἐδεσμάτων χρῆσιν εἰς λόγον
λεπτυνούσης διαίτης ἀπό τε τῶν πετραίων ἰχθύων καὶ τῶν ὀρεινῶν
ὀρνίθων τῶν μικρῶν· τὰ γὰρ ἐν τοῖς ὄρεσι διαιτώμενα ζῷα πάντα
ξηρότερά τε καὶ θερμότερα ταῖς κράσεσιν ὑπάρχει, καὶ ἡ σὰρξ
αὐτῶν ἥκιστα φλεγματώδης ἐστὶ καὶ γλίσχρα. Ψᾶρας οὖν καὶ κί- 6
χλας καὶ κοτίφους καὶ πέρδικας ἐσθίειν. Καὶ οἱ πυργῖται καλού- 7

CH. 1; l. 3. θύμον] θῦμα F. — 6. ἐπιπαιδίων F. — 16. δευτεροειδεῖς δὲ οἱ Codd. Cf. t. I, p. 194. — 23. ἐστί] ὑπάρχει BP. — Ib. καὶ γλ. om. BP.

μενοι στρουθοὶ, καὶ ὅσοι κατὰ τὰς ἀμπέλους διαιτῶνται, καὶ τῶν
περιστερῶν αἱ ἐκ τῶν πύργων ἀμείνους τῶν κατοικιδίων εἰσὶ, καὶ
καθόλου πάντα τὰ γεγυμνασμένα τῶν ἀγυμνάστων, καὶ τὰ ξηροτέ-
ραις τροφαῖς χρώμενα τῶν ὑγροτέραις, καὶ τὰ καθαρὸν καὶ λεπτὸν
8 ἀναπνέοντα τὸν ἀέρα βελτίω τῶν ἐναντίων. Καὶ ἰχθύων δὲ τῶν πε-
τραίων ἐσθίειν ἰουλίδος καὶ φυκίδος καὶ κοτλύφου καὶ κίχλης καὶ
σκάρου, καὶ ἁπλῶς ἁπάντων ὅσοι μαλακήν τε ἅμα καὶ ψαθυρὰν
ἔχουσι τὴν σάρκα· τῶν δὲ ἤτοι σκληρὰν ἢ γλίσχραν ἐχόντων ἀπέ-
9 χεσθαι παντάπασιν. Μαλακὴ μὲν οὖν ἡ τῶν ὀνίσκων σὰρξ, ἀλλὰ
ἧττον ψαθυρὰ τῆς τῶν πετραίων· τῶν μέντοι τριγλῶν ψαθυρὰ μὲν,
10 οὐ μὴν καὶ μαλακή. Ταῦτα οὖν ἔχειν ἄμφω τὰ γνωρίσματα περὶ
παντὸς ζώου σαρκὸς, τὸ μαλακόν τε καὶ ψαθυρὸν, καὶ τούτοις
προσέχων τὸν νοῦν, ᾧ μὲν ἂν ὑπάρχῃ τὸ συναμφότερον, εἰς κόρον
ἐσθίειν, τῶν δὲ ἄλλων ᾧ μὲν μηδέτερον, ἀπέχεσθαι παντάπασιν, ᾧ
δὲ θάτερον μόνον, ἐσθίειν μέν ποτε καὶ τοῦδε τῶν ἄλλων ἀπορή-
σαντα, φυλάττεσθαι δὲ εἰς κόρον, ὥστε καὶ ὀνίσκων καὶ τριγλῶν
καὶ τῶν ἄλλων πελαγίων ἰχθύων ἐξέσται σοι προσφέρεσθαι μὴ
παρόντων πετραίων, καὶ μᾶλλον ὅσοι διὰ νάπυος ἐσθίονται, καθάπερ
11 ὁ σκορπίος. Ἔστι δὲ δή τινα γένη ζώων οἷς ὑπάρχει μὲν τὸ ἕτερον ὧν
εἶπον γνωρισμάτων, ἀλλὰ διὰ τὴν ἀμετρίαν θατέρου φυλάττεσθαι
χρὴ καὶ τὴν τούτων ἐδωδήν· αἱ μὲν γὰρ ἐγχέλυες, καὶ τὰ πλεῖστα
τῶν μαλακίων τε καὶ σελαχίων, καίτοι μαλακὴν ἔχοντα τὴν σάρκα,
διὰ τὸ γλίσχρον καὶ φλεγματῶδες αὐτῆς ἱκανῶς ἐστι βλαβερά·
τοῖς δὲ λεπτυνούσῃ διαίτῃ χρῆσθαι δεομένοις ἐπιτηδεία ἐκ τῶν σε-
λαχίων ἐστὶν ἡ νάρκη καὶ ἡ τρυγὼν μόνα, καὶ χρῆσθαι δέ ποτε καὶ
12 τούτοις ἐγχωρεῖ μὴ παρόντων πετραίων. Τῆς δὲ αὐτῆς ἐστι δυνά-
13 μεως τά τε βούγλωττα καὶ ἡ ψῆττα. Καὶ τοῖς ἀλεκτρυόσι δὲ, εἰ
γυμνάζοιτό τις, οὐ κωλύω κεχρῆσθαι, καὶ περιστεραῖς καὶ τρυγόσι,

1-2. καὶ αἱ περιστεραὶ ἀμ. BP. — 2. ἡμέρων BP. — 3. ἐγγεγυμν. F; ἄγρια BP. — Ib. ἡμέρων BP. — 5. τόν om. BP. — 8-9. ἀπέχου BP. — 17. ἔσται BP; ἐξ ἔστι F 1a m. Cf. t. I, p. 196. — 18. μάλιστα BP. — Ib. ὥσπερ BP. — 22. μαλ. τε καί om. BP. — 28. κωλύει F.

καὶ μάλισʼα ταῖς ἐν ὄρεσι διαιτωμέναις· χρὴ δὲ μὴ πρόσφατον,
ἀλλὰ ἕωλον ἐργασαμένους ἡμέραν μίαν τοὐλάχισʼον οὕτως ἐσθίειν
πάντα τὰ μετρίως σκληρὰν ἔχοντα τὴν σάρκα. Καὶ οἱ ταριχευθέν- 14
τες δὲ τῶν ἰχθύων ἱκανώτατα λεπʼύνουσι καὶ τέμνουσιν· ἐκλέγε-
σθαι δὲ καὶ τούτων ὅσοι φύσει μαλακόσαρκοι· τοὺς δὲ κητώδεις
φυλάτʼεσθαι. Ταριχευθέντων γέ τοι καὶ τῶν χοιρείων κρεῶν γεύοιτο 15
ἄν τις ἀσφαλῶς. Καὶ ὑπὸ τῶν ὀπωρῶν δὲ ἥκισʼα ἄν τις λυποῖτο τῶν 16
λαπατʼουσῶν τὴν κοιλίαν. Τὰς μαλακωτέρας οὖν μᾶλλον ἐσθίειν 17
τῶν σκληροτέρων καὶ βραδυπόρων· οὐ μὴν εἰς κόρον γε οὐδενός·
ὅσα δὲ σφοδρῶς αὐσʼηρὰ καὶ σʼρυφνὰ μοχθηρὰ τῇ τοιαύτῃ διαίτῃ.
Ἐπιτηδειότερα δὲ πάντων εἰσὶν ἰσχάδες, κάρυα καὶ πισʼάκια καὶ 18
τῶν ἀμυγδαλῶν αἱ ὑπόπικροι. Ἐλαίας δὲ οὔτε ἐπαινεῖν ἔχοιμι ἄν, 19
οὔτε ψέγειν. Τῶν δὲ γλυκέων, οὐκ ἐδεσμάτων μόνον ἀλλὰ καὶ πο- 20
μάτων, τὸ μέλι μόνον, ὡς ἔπος εἰπεῖν, ἀκριϐῶς λεπʼοῦ τὴν σύσʼα-
σίν ἐσʼι χυμοῦ γεννητικόν. Καὶ τῶν οἴνων δὲ οἱ λευκοὶ καὶ λεπʼοὶ 21
τέμνουσί τε τοὺς παχεῖς χυμοὺς καὶ καθαίρουσι διὰ οὔρων. Καὶ 22
μὲν δὴ καὶ ὁ τοῦ γάλακτος ὀρὸς ἐκ τῶν λεπʼυνόντων ἐσʼίν· χρησι-
μώτερον δὲ εἰς λεπʼύνουσαν δίαιταν τὸ ὀξύμελι μάλισʼα ὑπάρχει.

β'. Ὅσα παχύχυμα.

Οἱ ἰπνῖται τῶν ἄρτων καὶ οἱ μὴ καλῶς ἐσκευασμένοι παχύχυ- 1
μοι, καὶ ὁ καλούμενος τράγος, καὶ τὰ διὰ γλεύκους καὶ σεμιδάλεως
πέμματα καὶ λάγανα καὶ ῥύμματα ἅπερ ἴτρια προσαγορεύεται,
καὶ πᾶν ἄζυμον ἐκ πυροῦ πέμμα, καὶ οἱ διὰ αὐτῶν δηλονότι σκευα-
ζόμενοι πλακοῦντες. Ἔσʼι δὲ καὶ ἡ σεμίδαλις καὶ ὁ χόνδρος ἱκανῶς 2
παχύχυμα· ἄμυλον μετρίως. Καὶ οἱ λοϐοὶ δέ εἰσι παχύχυμοι καὶ οἱ 3
θέρμοι, καὶ τῆς φακῆς ἡ οἷον σάρξ, κύαμοι φρυγέντες, σησάμου
σπέρμα, ἐρυσίμου σπέρμα, τὰ καλούμενα μαλάκια, τευθίδες, ση-

1. καὶ... δέ om. BP. — 2. ἡμέρᾳ μιᾷ F. — 4. καὶ τέμν. om. BP. — 5. καί] ἐκ BP. — 6. γέ τοι] δέ BP. — 11. πάντως BP. — 16. τε om. BP. — 18. μάλ. ὑπάρχει om. BP. — Ch. 2; l. 21. καὶ παραρύμματα Codd. Cf. t. I, p. 199. — 24-25. καὶ θερμοί Codd. Cf. t. I, p. 199.

4 πίαι, πολύποδες, οἱ κητώδεις τῶν ἰχθύων. Ἱκανῶς δὲ παχύχυμα τά
τε ὄσΊρεα, οἱ κήρυκες, αἵ τε πορφύραι, χῆμαι, λεπάδες, κτένες,
πίνναι, καὶ πάντα ἁπλῶς τὰ ὀσΊρακόδερμα, ἐγχέλυες, κοχλίαι,
ἐλάφεια κρέα, αἴγεια, βόεια, λάγεια, χοίρεια, ἧπαρ, νεφροὶ, ὄρ-
χεις, ἐγκέφαλος, νωτιαῖος μυελὸς, οὖθαρ, ἀδένες· γλῶτΊα μετρίως·
γάλα τὸ ἐπὶ πλέον ἑψηθὲν, τυροὶ πάντες· οἱ δὲ νέοι καὶ ὀξυγαλάκτι-
νοι ἧτΊον· ὀξύγαλα, πυρίεφθον, καὶ τῶν ᾠῶν ὅσα μέχρι τελέας
πήξεως ἕψουσι, μᾶλλον δὲ τὰ ὀπΊὰ, καὶ ἔτι μᾶλλον τὰ τηγανισΊὰ,
φοίνικες, κάσΊανα, βάλανοι, βολβοὶ, γογγύλαι, μύκητες, ἄρου ῥί-
ζαι, ὕδνα, κῶνος, σῦκα τὰ μὴ καλῶς πέπειρα, κιτρίου σὰρξ, σί-
5 κυος τοῖς πλεονάσασι τῇ ἐδωδῇ αὐτῶν. Τῶν οἴνων οἱ γλυκεῖς αἵμα-
τος παχέος εἰσὶ γεννητικοὶ, καὶ μᾶλλον ἔτι τὸ καλούμενον σίραιον,
καὶ ὁ γλεύκινος ὁμοίως, καὶ οἱ παχεῖς καὶ μέλανες οἶνοι.

γʹ. Ὅσα μέσα τῶν λεπΊυνόντων καὶ παχυνόντων εἰσίν.

1 Οἱ κάλλισΊα κατασκευασθέντες ἄρτοι, καὶ αἱ σάρκες τῶν ἀλε-
κτορίδων τε καὶ ἀλεκτρυόνων, ὀρνίθων τε καὶ φασιανικῶν, καὶ περ-
δίκων καὶ περισΊερῶν, ἀτΊαγήνων τε καὶ τρυγόνων καὶ κιχλῶν,
κοτΊύφων τε καὶ τῶν μικρῶν σΊρουθίων ἅμα πάντων, ἔτι τε πε-
τραίων ἰχθύων, αἰγιαλείων τε καὶ πελαγίων, κωβιῶν τε καὶ σμυ-
ραίνων, καὶ βουγλώσσων, καὶ πάντων ἁπλῶς ἰχθύων ὅσοι μήτε
γλισχρότητά τινα, μήτε δυσωδίαν ἔχουσι κατὰ τὴν ἐδωδὴν, σῦκα
τὰ πέπονα, λαχάνων ἀγρίων ἡ σέρις· τοῦτο δὲ κοινόν τι γένος
ἐσΊὶ πλειόνων, τὰ δὲ κατὰ εἶδος ἕκασΊον αὐτῶν ἴδιον ὄνομα κέκτη-
ται παρὰ τοῖς ἈτΊικοῖς, οἷον θριδακίνη καὶ χονδρίλη, γιγγικίδια
καὶ ἄλλα μυρία τούτου τοῦ γένους ἐσΊίν· ὅ τε ἕλειος καὶ ὁ μυακάν-
θινος καὶ ὁ τῆς χαμαιδάφνης ἀσπάραγος καὶ ὁ τῆς βρυωνίας· οἶνος
ὁ ξανθός τε ἅμα καὶ γλυκὺς καὶ διαυγὴς, οἷός ἐσΊιν ὅ τε ἀριούσιος

2. ὄσΊρεια F. — 4-5. αἰδοῖα BP. — 5. ἐγκέφαλοι Codd. Cf. t. I, p. 200. — Ib. οὖθαρ om. BP. — 7. ὁπόσα BP. — 9. γογγυλὶς BP. — 9-10. ῥίζα BP. — 13. γλευκίνης F. — Ch. 3; l. 15. καί ante φασ. om. Codd. Cf. t. I, p. 201. — Ib. φασιανῶν BP, et sic fere semper. — 21. πέπ. καὶ λαχ. Codd. Cf. t. I, p. 201. — 23. γιγγίδια F; om. BP. Cf. t. I, p. 613.

καὶ ὁ λέσϐιος καὶ ὁ Φαλερῖνος καὶ ὁ τμωλίτης· χρησῖὸν γὰρ οἱ τοιοῦτοι πάντες αἷμα καὶ σύμμετρον τῷ πάχει γεννῶσιν.

δ'. Ὅσα γλίσχρον χυμὸν γεννᾷ.

Τῶν πυρῶν ὅσοι μὲν βαρεῖς καὶ πυκνοὶ καὶ διὰ βάθους ξανθοὶ 1
γλίσχροι· ὅσοι δὲ κοῦφοι καὶ ἀραιοὶ καὶ λευκοὶ τὰ ἔνδον ἧτῖον
τοιοῦτοι. Καὶ ἡ σεμίδαλις δὲ καὶ ὁ χόνδρος ἱκανῶς γλίσχρα. Τέ- 2-3
νοντες καὶ ἀπονευρώσεις καὶ τὰ περὶ τὰ χείλη μόρια, καλλωσὸν,
χοίρειον πᾶν κρέας, καὶ ἡ τῶν ἀρνῶν σὰρξ, τὸ τοῦ σησάμου
σπέρμα, βολϐοὶ, Φοίνικες οἱ λιπαροί.

ε'. Ὅσα ὠμοὺς χυμοὺς γεννᾷ.

Φοίνικες χλωροὶ χυμῶν ὠμῶν ἐμπιπλῶσι τοὺς ἐσθίοντας ὡς 1
δυσεκθερμάντοις ἁλίσκεσθαι ῥίγεσιν. Καὶ ἡ ῥίζα τῆς γογγυλίδος, 2
ὅταν πλεονάσῃ τις ἐπὶ τῇ ἐδωδῇ αὐτῆς, καὶ ἡ σὰρξ τῶν ὀσῖρακο-
δέρμων τῶν σκληροσάρκων ἀποϐαλοῦσα τὸν ἁλυκὸν χυμὸν ἐκ πλείο-
νος ἑψήσεως, καὶ τὰ μαλάκια καλούμενα, πολύποδες, σηπίαι, ὅσα
τε ἄλλα τοιαῦτα, πάντα τὰ κητώδη τῶν ἐν θαλάτῖῃ ζώων, κοιλία,
ἔντερα, μῆτραι τῶν τετραπόδων, καὶ οἱ σκληρότεροι τῶν ἀδένων
ἀπεπῖούμενοι, ὀξύγαλα, τηγανῖται, θέρμοι, σῖαφυλὴ ἐπισχεθεῖσα
καὶ μὴ διαχωρηθεῖσα.

ϛ'. Ὅσα ψυχροὺς χυμοὺς γεννᾷ.

Τοῖς ἄδδην σικύων ἐμφορουμένοις ψυχρὸν χυμὸν ἀθροίζειν συμ- 1
ϐέϐηκεν οὐκ εὐπετῶς ἐπιδέξασθαι δυνάμενον τὴν εἰς αἷμα χρησῖὸν
ἀλλοίωσιν. Κοιλία καὶ ἔντερα καὶ μῆτραι τῶν τετραπόδων ζώων, 2
ὀξύγαλα, βωλῖται, μῆλα τὰ μὴ πέπειρα, βολϐοί.

2. *ἀπογεννῶσιν* BP. — Ch. 4; l. 3. *μέν* om. BP. — Ch. 5; l. 13-14. *καὶ ὅσα τοιαῦτα* BP. — 15-16. *τῶν τετρ... ἀπεπῖούμενοι* om. BP. — Ch. 6; l. 18-19. *πέφυκεν* BP. — 19. *τήν* om. ABP. — 20. *Κοιλίαι* A.

ζʹ. Ὅσα φλέγμα γεννᾷ.

1 Φλεγματικὸν δὲ ἁπλῶς χυμὸν γεννᾷ τῶν ζῴων τὰ νευρώδη μό-
ρια, ἐγκέφαλος, πνεύμων, νωτιαῖος, ἀδένες ἀπεπτούμενοι, ἡ τῶν
ἀρνῶν σὰρξ, ἀμανῖται, βωλῖται, καὶ ἡ σὰρξ τῶν ὀστρακοδέρμων
τῶν μαλακοσάρκων, μῆλα τὰ μὴ πέπειρα.

ηʹ. Ὅσα μελαγχολικὸν χυμὸν γεννᾷ.

1 Κρέα βόεια, αἴγεια, καὶ μᾶλλον τὰ τῶν τράγων καὶ ταύρων,
ἔτι δὲ μᾶλλον ὄνεια, καμήλεια, ἀλωπέκεια, κυνῶν, λαγωῶν, τῶν
ἀγρίων ὑῶν, τὰ ταριχευθέντα κρέα τῶν ἐπιγείων ζῴων, καὶ οἱ σπλῆ-
νες τῶν ζῴων, τῶν δὲ θαλαττίων θύννης καὶ φαλαίνης, φώκης,
κυνὸς, δελφῖνος, καὶ τῶν κητωδῶν ἁπάντων, κοχλίαι, κράμβαι,
καὶ τῶν δένδρων οἱ βλαστοὶ διὰ ἅλμης τε καὶ ὀξάλμης συντιθέμενοι,
σχίνου λέγω καὶ τερμίνθου καὶ βάτου καὶ κυνοσβάτου, καὶ τῆς κινά-
2 ρας ἡ οἷον σάρξ. Καὶ ἡ φακῆ δὲ μελαγχολικώτατόν ἐστιν ἔδεσμα,
καὶ μετὰ ταύτην οἱ πιτυρῖται τῶν ἄρτων, οἵ τε ἐκ τῆς τίφης καὶ
τῶν ἄλλων τῶν μοχθηρῶν σπερμάτων, οἵ τε παλαιοὶ τυροὶ, καὶ
ἀφάκη καὶ βίκος, καὶ τῶν οἴνων οἱ παχεῖς καὶ μέλανες.

θʹ. Ὅσα χολώδη χυμὸν γεννᾷ.

1-2 Κεράτια. Τῆς κινάρας ὁ χυλὸς λεπτὸς καὶ πικρόχολός ἐστιν·
3 ἄμεινον δὲ ἀφέψοντας αὐτὴν ἐσθίειν. Καὶ τὸ μέλι ῥαδίως ἐκχολοῦ-
ται κατὰ τὰ θερμὰ σώματα· πάντες γάρ εἰσιν οἱ γλυκεῖς χυμοὶ
ὕλη τῇ ξανθῇ χολῇ· καὶ οἱ γλυκεῖς οἶνοι.

ιʹ. Ὅσα περιττωματικά.

1 Φάτται, χῆνες πλὴν τῶν πτερῶν, σπλάγχνα πάντα, νωτιαῖος,

Ch. 7, l. 1. δέ om. A. — 4. τῶν μαλακοσ. om. Codd. Cf. t. I, p. 204. — Ch. 9; l. 7-8. τὰ.... ζῴων om. BP. — 8. θύννος A. — Ib. καὶ φαλ. om. A. — 13. τῶν ἀρτ. om. BP. — 13-14. οἱ... σπερμάτων] φακή BP. — 14. οἱ ἁπαλοὶ τυ. AF; οἱ ἀπ. τε τ. BP. Cf. t. I, p. 205. — 14-15. καὶ ἀφ. om. ABP; καὶ φακκός F. Cf. t. I, p. 205. — 15. καὶ β. om. ABP. — Ch. 9; l. 19. τῆς ξανθῆς χολῆς BP.

ἐγκέφαλος, οἱ ἐν τοῖς ἕλεσι καὶ ταῖς λίμναις καὶ τοῖς πεδίοις ὄρνιθες, ἐρέβινθοι, κύαμοι χλωροὶ, κύαμος αἰγύπτιος, οἱ νέοι τῶν χοίρων, τῶν προβάτων ἡ σάρξ, καὶ πάντων τῶν νέων ζώων, καὶ τῶν ἀργῶς βιούντων, καὶ τῶν ἰχθύων οἱ ποτάμιοι καὶ οἱ λιμναῖοι καὶ οἱ ἐν ἰλύι διαιτώμενοι, καὶ πάντα τὰ κητώδη τῶν ἐν θαλάττῃ ζώων.

ια'. Ὅσα ἀπέριττα.

Τράχηλοι ζώων, οὐραὶ, πτερὰ, ἡ τῶν ἀγρίων ζώων σὰρξ καὶ 1
τῶν ἐν ξηροῖς τόποις διαιτωμένων.

ιβ'. Ὅσα πολύτροφα.

Συῶν ἡμέρων αἱ σάρκες πάντων ἐδεσμάτων εἰσὶ τροφιμώταται. 1
Βοῶν ἐγκέφαλοι, ὄρχεις, καρδία, νωτιαῖος καὶ ὁ ἄλλος μυελὸς, 2
καὶ πτερὰ τῶν χηνῶν, καὶ μᾶλλον ἀλεκτορίδων, καὶ πάντων τῶν
πτηνῶν αἱ κοιλίαι, κοχλίαι, καὶ μᾶλλον δίσεφθοι γενόμενοι. Τῶν 3
ὀστρακοδέρμων τὰ σκληρόσαρκα, οἷον χῆμαι, πορφύραι, κήρυκες,
ὅσα τε ἄλλα τοιαῦτα, πλείονα τροφὴν δίδωσιν· ἀστακοὶ, πάγουροι,
καρκίνοι, καρῖδες, κάραβοι καὶ ὅσα ἄλλα τοιαῦτα, καὶ τὰ μαλάκια,
οἷον πολύποδες, σηπίαι, τευθίδες καὶ τὰ τοιαῦτα. Τῶν σελαχίων 4
νάρκη μὲν καὶ τρυγὼν μετρίως, βάτοι καὶ λειόβατοι καὶ ῥῖναι
μᾶλλον· τρίγλαι καὶ κωβιοὶ ἔλαττον. Γάλα τὸ μὲν παχύτερον μᾶλ- 5
λον, τὸ δὲ ὑγρότερον ἔλαττον. Τῶν ἄρτων τροφιμώτατος ὁ σι- 6
λιγνίτης, ἐφεξῆς δὲ ὁ σεμιδαλίτης, καὶ τρίτος ὁ συγκομιστός. Ἑφθοὶ 7
πυροὶ, σεμίδαλις, χόνδρος. Κύαμοι σαρκοῦσι τὴν ἕξιν οὐκ ἐσφιγμένῃ 8
καὶ πυκνῇ σαρκὶ, ἀλλὰ χαυνοτέρᾳ μᾶλλον. Ἐρέβινθοι κυάμων τρέ- 9
φουσι μᾶλλον, φάσηλοι καὶ ὦχροι τήλεως πλέον. Δόλιχοι οὓς λο- 10
βοὺς καὶ φασηόλους καλοῦσι, τρέφουσι πίσσων οὐκ ἔλαττον. Θέρμοι 11
τρόφιμοι, κάστανα, φακὴ, οἱ γλυκεῖς φοίνικες, σταφίδες αἱ γλυ-

3. τῶν ante ἀργ. om. F. — Ch. 11; l. 7. καὶ τ. ἀ. ζ. ἡ σ. καί BP. — Ch. 12; l. 14. τε om. BP. — 18. καί ante κωβ. om. Codd. Cf. t. I, p. 208. — 19-20. τροφιμώτατοι οἱ σιλιγνῖται BP. — 20. δὲ καὶ ὁ Codd. Cf. t. I, p. 208.

κεῖαι καὶ λιπαραὶ, βάλανοι, γογγυλὶς ἣν καὶ βουνιάδα καλοῦσιν.
13 Βολϐοὶ τροφιμώτατοι, καὶ μᾶλλον δίσεφθοι. Μέλι τὸ ἀπαφρισθὲν
ἐπιτήδειον πρός τε ἀνάδοσιν καὶ θρέψιν γίνεται, καὶ μελίκρατον
14 τὸ καλῶς ἑψηθέν. Ἅπας οἶνος ἀνὰ λόγον τρέφει τῆς παχύτητος· οἱ
μὲν οὖν ἐρυθροὶ καὶ παχεῖς πάντων οἴνων εἰσὶν εἰς αἵματος γένεσιν
ἐπιτηδειότατοι, ἐφεξῆς δὲ αὐτῶν οἱ μέλανες καὶ παχεῖς καὶ σlύ-
φοντες· τούτων δὲ ἧτlον τρέφουσιν οἱ λευκοί τε ἅμα καὶ παχεῖς
15 καὶ αὐσlηροί· πάντων δὲ ἧτlον οἱ λευκοὶ καὶ λεπlοί. Καὶ πάντα
δὲ τὰ παχύχυμα, εἰ καλῶς πεφθείη καὶ αἱματωθείη, πολύτροφα
γίνεται.

ιγ'. Ὅσα ἐλάτlονα τροφὴν δίδωσιν.

1 Τὰ ἄκρα τῶν ζώων, μήτρα, γασlὴρ, ἔντερα, οὐρὰ, ὦτα, πι-
2 μελὴ, σlέαρ. Ἅπαν τὸ γένος τῶν ὀρνίθων ὀλιγοτροφώτερόν ἐσlι
3 παραϐαλλόμενον τῷ γένει τῶν πεζῶν. Καὶ ἡ τῶν γεγηρακότων
4 ζώων σὰρξ ὀλιγοτροφωτέρα τῶν ἔτι αὐξανομένων. Τῶν δὲ ἰχθύων
ἡ τροφὴ αἵματός ἐσlι λεπlοτέρου γεννητικὴ, ὡς μήτε τρέφειν δα-
5 ψιλῶς καὶ διαφορεῖσθαι θᾶτlον. Τῶν δὲ ὀσlρακοδέρμων τὰ μαλα-
6 κόσαρκα, οἷα τὰ ὄσlρεα, ὀλιγότροφα. Ἄρτοι κρίθινοι, ὅπως ἂν
σκευασθῶσιν, ὀλιγότροφοι πάντες εἰσὶ, τὰ ἐκ κριθῶν τε ἄλφιτα,
τούτοις τε ὁμοίως ἄρτοι πιτυρίαι, καὶ οἱ ῥυπαροὶ πάντες, καὶ οἱ
πλυτοὶ, ἄμυλον, μᾶζα ἐξ ἀλφίτων κριθῆς, βρόμος, κέγχρος, καὶ
μᾶλλον ἔλυμος, ὄρυζα, κύαμοι χλωροὶ, μήκωνος σπέρμα, λίνου
σπέρμα, ὄρμινα, συκάμινα, ὁ τῶν κυνοσϐάτων καρπὸς, ἀρκευθίδες,
μύρτα, ἀμύγδαλα, πισlάκια, κοκκύμηλα, περσικὰ, ἀρμενιακὰ,
πραικόκκια, ἐλαῖαι, καὶ μάλισlα αἱ δρυπεπεῖς, λεπlοκάρυα, καὶ
μᾶλλον τὰ βασιλικὰ κάρυα, σηρικὰ, κράνα, προῦμνα, βάτινα,

3. καί ante μελίκρατον om. Codd. Cf. t. I, p. 209. — Ch. 13; l. 11. Τὰ ἄκρεα F text.; Τὰ κρέα B text. F marg. P. — 15. λεπlομεροῦς Codd. Cf. t. I, p. 210. — 18. πάντων Codd. Cf. t. I, p. 210. — Ib. τε om. F. — 19. τε om. BF text. P. — Ib. καί post πάντες om. Codd. Cf. t. I, p. 210. — 20. κριθή Codd. Cf. t. I, p. 210. — 21-22. λίνου σπέρμα om. Codd. Cf. t. I, p. 210. — 24. δρυπεταί BP.

μιμαίκυλα, ζίζυφα, διόσπυρα, ἀλικάκκαβα, κάππαρις, καὶ μάλι-
σ7α ἡ ταριχευθεῖσα, τῆς τερμίνθου πάντα, κράμβη, τεῦτλα, λάπα-
θον, ὀξυλάπαθον, ἀνδράχνη, σ7ρύχνον, ῥαφανὶς, γογγυλὶς, νᾶπυ,
κάρδαμον, πύρεθρον, καὶ οἱ ἀσπάραγοι πάντες, σ7αφυλῖνος, δαῦ-
κος, καρώ. Κρόμμυα δὲ καὶ σκόροδα καὶ πράσα καὶ ἀμπελόπρασα 7
ὠμὰ μὲν οὐδὲ ὅλως τροφὴν δίδωσιν, ἑψηθέντα δὲ δὶς ἢ τρὶς ὀλιγί-
σ7ην. Ῥοιαὶ ὀλιγότροφοι· ἄπιοι δὲ, καὶ μάλισ7α αἱ μεγάλαι, ἔχουσί 8
τι τρόφιμον. Κολοκύνθη ὀλιγότροφον· σ7αφίδες αἱ αὐσ7ηραί τε καὶ 9
ἀλιπεῖς. Μέσα δέ πώς ἐσ7ι τῶν ὀλιγοτρόφων τε καὶ πολυτρόφων 10
φάσηλοι, ὦχροι, λάθυροι, ἄρακοι. Καὶ σῦκα οὐχ ὁμοίως ταῖς ἄλλαις 11
ὀπώραις ὀλιγότροφα, σομφώδη δὲ ποιεῖ τὴν σάρκα· ὁμοίως σ7α-
φυλαί· ἔλατ7ον δὲ αὗται τῶν σύκων τρέφουσι χαύνῃ καὶ πλαδαρᾷ
σαρκί. Πάντα ὅσα τῶν ἐδεσμάτων φαρμακώδη τινὰ ἔχει ποιότητα 12
σφοδρὰν, ὅταν ἀποθῆται ταύτην ὀπ7ήσεσιν ἢ ἑψήσεσιν ἢ τέγξε-
σιν ὀλίγην τροφὴν δίδωσι τῷ σώματι, πρότερον οὐδὲ ὅλως δι-
δόντα.

ιδ'. Ὅσα εὔχυμα.

Εὐχυμότατόν ἐσ7ι τὸ γάλα σχεδὸν ἁπάντων ὧν προσφερόμεθα· 1
ἄρισ7ον δὲ τὸ τῶν εὐεκτούντων ζώων, ὅταν ἀμελχθῇ πινόμενον εὐ-
θέως. Ὠὰ τρομητὰ καὶ ῥοφητά· ἀμείνω δὲ τὰ τῶν ἀλεκτορίδων ἐσ7ὶ 2
καὶ τὰ τῶν φασιανικῶν, χείρω δὲ τά τε τῶν χηνῶν καὶ τῶν σ7ρου-
θοκαμήλων. Ὄρνιθες καὶ ἰχθύες ὀλίγου δεῖν ἅπαντες εὔχυμοι πλὴν 3
τῶν ἐν ἕλεσι καὶ λίμναις καὶ ποταμοῖς ἰλυώδεσι διαιτωμένων, καὶ
μάλισ7α ὅταν ἐκ πόλεως ῥέῃ τὸ ὕδωρ ἐκκαθαῖρον ἀποπάτους τε καὶ
βαλανεῖα, καὶ μαγειρεῖα καὶ τὰ τῶν πλυνόντων τὴν ἐσθῆτα ῥύμ-
ματα. Ἀσφαλὲς οὖν ἀεὶ προσφέρεσθαι τῶν ἰχθύων τοὺς ἐκ τῆς 4
ἀμίκτου θαλάσσης ὕδατι γλυκεῖ, οἷοί εἰσιν οἵ τε πελάγιοι καὶ οἱ

3. ὀξυλάπ. om. Codd. Cf. t. I, p. 211. — Ib. ῥάφανος F. — Ib. γογγυλίς om. Codd. Cf. t. I, p. 211. — 8. Κολοκύνθαι ὀλιγότροφοι BP. — 9. τε om. BP. — 15. τοῖς σώμασι BP. — Ch. 14; l. 19-21. ἀμ..... σ7ρουθοκαμ. om. Codd. Cf. t. I, p. 212-213. — 24. καὶ μαγ. om. Codd. Cf. t. I, p. 213.

πετραῖοι· καὶ γὰρ εἰς εὐχυμίαν καὶ εἰς ἡδονὴν πολὺ προύχουσι τῶν
5 ἄλλων. Εἰ δέ τι τῶν ἐν ἑκατέροις τοῖς ὕδασι διαιτωμένων εἴη, καθά-
περ γε κέφαλοι καὶ ὁ λάβραξ, ὀνίσκος τε καὶ κωβιὸς, σμύραινά τε καὶ
καρκίνοι καὶ ἐγχέλυες, ἀναπυνθάνεσθαι μὲν χρὴ πρότερον, ὅθεν εἴη
τεθηραμένον, μετὰ δὲ ταῦτα τῇ τε ὀσμῇ καὶ τῇ γεύσει τὴν διάγνωσιν
αὐτῶν ποιεῖσθαι· καὶ γὰρ δυσώδεις καὶ ἀηδεῖς καὶ βλεννώδεις εἰσὶν
6 ὅσοι τὴν δίαιταν ἔχουσιν ἐν ὕδατι μοχθηρῷ. Καὶ μέντοι καὶ λίπος
αὐτοῖς ὑπάρχει πολὺ πλέον ἢ τοῖς ἄλλοις, καὶ σήπονται ταχέως.
7 Καὶ παρὰ τὰς ἐπιχωρίους δὲ τροφὰς ἀμείνους τε καὶ χείρους ἑαυ-
τῶν οἱ ἰχθύες γίνονται διαγινωσκόμενοι ῥᾳδίως ὀσμῇ τε καὶ γεύσει,
καθάπερ αἱ τρίγλαι· μοχθηρόταται γὰρ αὐτῶν αἱ τὴν καρκινάδα
σιτούμεναι· τῶν δὲ ἄλλων ἡ σὰρξ σκληροτέρα μὲν, οὐ κακόχυμος
8 δέ. Κίθαρος καὶ ῥόμβος καὶ ἧπατος καὶ βούγλωσσον καὶ ἡ ψῆτla
καὶ σαῦρος μέσοι πώς εἰσι τῶν ἁπαλοσάρκων καὶ σκληροσάρκων·
ἡ τροφὴ δὲ αὐτῶν καλλίσlη τοῖς τε μὴ γυμναζομένοις ἐσlὶ, καὶ τοῖς
9 ἀσθενέσι καὶ τοῖς ἐκνοσηλευομένοις. Ἡ ψαθυρὰ καὶ μαλακὴ τροφὴ
πρὸς ὑγείαν ἐπιτηδειοτάτη ἐσlὶν, διότι καὶ εὐχυμοτάτη πασῶν
10 ἐσlιν. Αἱ σάρκες τῶν ζῴων, ὅταν καλῶς πεφθῶσιν, αἵματός εἰσιν
ἀρίσlου γεννητικαὶ, καὶ μάλισlα τῶν εὐχύμων, οἷόν ἐσlι τὸ γένος
τῶν ὑῶν· κάλλισlον γὰρ δὴ τὸ τούτων κρέας εἰς ἡδονήν τε καὶ πέ-
ψιν ἐσlὶ, καὶ μάλισlα τὸ τῶν μέσων κατὰ τὴν ἡλικίαν ὑῶν· χεῖρον
γὰρ τό τε τοῦ παλαιοτάτου καὶ τὸ τοῦ μετὰ τὴν ἀποκύησιν εὐθέως
ἐσθιομένου· ὑγρότατόν τε γὰρ ὑπερβαλλόντως ἐσlὶ τὸ τῶν ἀρτιγε-
11 νῶν καὶ φλέγμα γεννᾷ πλεῖσlον. Οὖθαρ εὔχυμον, ἧπαρ, τὰ περὶ
12 τὰ χείλη μόρια, πlερὰ καὶ τὰ ἄλλα τὰ ἄκρα. Ἔντερά τε καὶ μήτρα
καὶ οὐρὰ τῶν σαρκῶν ἧτlον εὔχυμα· οἱ δὲ ἀδένες πεφθέντες καλῶς
13 διδόασιν ὁμοίαν τροφὴν ἐγγὺς τῇ κατὰ σάρκα. Καρδία οὐ κακόχυ-
14 μος. Βελτίους οἱ πόδες τῶν ὑῶν εἰσι τοῦ ῥύγχους καὶ τῶν ὤτων·

1. πολλῷ BP. — 3. ὁ κέφαλος BP. — Ib. τε post ὀν. om. BP. — 5. τεθηραμένα F; τεθηρευμένα BP. Cf. t. I, p. 213. — 17. διότι om. Codd. Cf. t. I, p. 214. — Ib. πασῶν Gal.; πάντων Codd. — 19. οἷαί εἰσι BP. — 20. δή om. BP. — 20-21. ἡδ. καὶ εἰς π. BP. — 27-28. Καρδίαν οὐ κακόχυμον ἔγνωμεν BP.

τῶν δὲ ἄλλων ζώων, κατὰ ὅσον αἱ σάρκες εἰς ἀρετὴν τροφῆς ἀπο-
λείπονται τῶν ὑῶν, κατὰ τοσοῦτον καὶ τῶν ἄκρων ἐν ὑσὶ μορίων
εἰσὶ χείρω τὰ κατὰ ἐκεῖνα τὰ ζῷα. Οἱ ἐγκέφαλοι τῶν πἼηνῶν πολὺ 15
βελτίους εἰσὶ τῶν ἐν τοῖς πεζοῖς. Τῶν ἀγρίων ζώων ἡ σὰρξ εὐχυ- 16
μοτέρα τῆς τῶν ἡμέρων ἐσἼίν. Ἄρτος καθαρὸς καλῶς ἐσκευασμένος 17
εὔχυμος· χόνδρος, πἼισάνη καλῶς ἡψημένη, κύαμοι. ΚάσἼανα οὐ 18
κακόχυμα, σῦκα πέπειρα καὶ σἼαφυλὴ πέπειρος· κρεμασθεῖσα δὲ
ἄμεμπἼος. Ἰσχάδες ἀναδοθεῖσαι μὲν ταχέως εὔχυμοι· χρονίσασαι δὲ 19
ἐν γασἼρὶ κακόχυμοι γίνονται καὶ φθειρῶν γεννητικαί· μετὰ δὲ
καρύων ἐσθιόμεναι κάλλισἼον ἔδεσμα· ὅσοι δὲ μετά τινος ἄλλου
τῶν ἐδεσμάτων ἐσθίουσι τὰ σῦκα καὶ τὰς ἰσχάδας οὐ μικρὰ βλά-
πἼονται. Θρίδαξ, ὡς ἐν λαχάνοις, αἷμα γεννᾷ, καὶ μετὰ αὐτὴν οἱ 20
ἴντυβοι. Οἱ εὐώδεις οἶνοι εὔχυμοι· τῶν εὐχυμοτάτων δέ ἐσἼιν ὁ φα- 21
λερῖνος, καὶ μᾶλλον ὁ γλυκύτατος, καὶ ὁ ἀριούσιος, καὶ ὁ κιῤῥὸς
τμωλίτης ὁ γλυκύς.

ιε'. Ὅσα κακόχυμα.

Τῆς κακοχυμίας οὐχ ἓν εἶδός ἐσἼιν· ἡ μὲν γὰρ ψυχροτέρα τυγ- 1
χάνει, ἡ δὲ θερμοτέρα τε καὶ χολωδεσἼέρα, ἄλλη δὲ ὑδατωδεσἼέρα,
καθάπερ ἄλλη μελαγχολικωτέρα. Πάντων δὲ ἀπέχεσθαι τῶν κακο- 2
χύμων ἐδεσμάτων συμβουλεύω, κἂν εὔπεπἼα ᾖ· λανθάνει γὰρ ἐν
χρόνῳ πλείονι μοχθηρὸς ἐν ταῖς φλεψὶ χυμὸς ἀθροιζόμενος ἐξ αὐ-
τῶν, ὃς ἐπειδὰν ἀφορμῆς ὀλίγης εἰς σῆψιν ἐπιλάβηται, πυρετοὺς
κακοήθεις ἀπεργάζεται. ἜσἼι δὲ κακόχυμα τάδε· τῶν προβάτων ἡ 3
σὰρξ, καὶ ἡ τῶν αἰγῶν ὁμοίως μετὰ δριμύτητος· ἡ δὲ τῶν τράγων
χειρίσἼη, ἐφεξῆς δὲ ἡ τῶν κριῶν, εἶτα ἡ τῶν ταύρων· ἐν ἅπασι δὲ
τούτοις τὰ τῶν εὐνουχισθέντων ἀμείνω, τὰ δὲ πρεσβυτικὰ χείρισἼα.
Τῶν λαγωῶν δὲ ἡ σὰρξ αἵματος μέν ἐσἼι παχυτέρου γεννητική, 4
βελτίονος δὲ εἰς εὐχυμίαν ἢ κατὰ βοῦν καὶ πρόβατον· κακόχυμος

6. χόνδρος om. A; χίναρ B text. P. — 13. ὁ om. Codd. Cf. t. I, p. 217. — 14. ὁ ante ἀρ. om. Codd. Cf. t. I, p. 217. — Ch. 15; l. 16. ἐσἼιν om. A. — 21. τινός BP. — 23. καὶ τῶν αἰγ. Codd. Cf. t. I, p. 218. — Ib. ὁμ. om. BP.

5 *δὲ οὐδὲν ἧτlων τούτων ἐσlὶ καὶ ἡ τῶν ἐλάφων. Νεφροὶ κακόχυμοι,
καὶ τῶν ἐπὶ πλέον ηὐξημένων οἱ ὄρχεις πλὴν τῶν ἐν τοῖς ἀλεκτρυό-*
6 *σιν. Ἐγκέφαλος, νωτιαῖος, καλλωσὸν, σπλήν· ἧτlον δὲ ὁ τῶν ὑῶν·
πάντα τὰ σπλάγχνα τῶν ζώων, ᾠὰ ταγηνισlὰ, τυροὶ παλαιοὶ,
βωλῖται, ἀμανῖται· τῶν γὰρ ἄλλων μυκήτων ἀσφαλέσlερον μηδὲ*
7 *ἐσθίειν· τῆλις, φακή. Τίφαι, βρόμος, ὅ τε ἀπὸ τούτων ἄρτος οὐκ*
8 *εὔχυμος. Ἐρέβινθος οὐκ εὔχυμος· ἡ δὲ ὄλυρα τοσοῦτον πυροῦ χεί-
ρων ἐσlὶν ὅσον τίφης καὶ βρόμου κρείτlων· μελίνη, κέγχρος, καὶ*
9 *ὅσα τοιαῦτα οὐκ εὔχυμα. Δράκοντες, κόκκυγες, γαλεώνυμοι, σκορ-
πίοι τε καὶ τράχουροι, τρίγλαι, ὀρφοὶ, γλαῦκοι, ζύγαιναι, γόγ-
γροι, φάγροι, καὶ ὅσα ἄλλα τῶν ἐν θαλάτlῃ ζώων κητώδη, πάντα*
10 *κακόχυμα. Καὶ οἱ ὡραῖοι καρποὶ καλούμενοι πάντες κακόχυμοι·
σῦκα δὲ ἧτlον τῶν ἄλλων ὡραίων· αἱ δὲ ἰσχάδες τοῖς πλεονάζουσιν
ἐν αὐταῖς οὐ πάνυ χρησlὸν αἷμα γεννῶσιν· ὅθεν αὐταῖς καὶ τὸ τῶν*
11 *φθειρῶν ἕπεται πλῆθος. Μῆλα τὰ μήπω πέπειρα, ἄπιοι πρὶν πε-
φθῆναι, ὁ τῆς τερμίνθου καρπὸς κακόχυμος, κινάρα, καὶ μᾶλλον
ὅταν σκληροτέρα γένηται, σίκυοι, πέπονες· μηλοπέπονες δὲ ἧτlον.*
12 *Κολοκύνθη τούτων μὲν ἀμείνων ἐσlὶν, ἀλλὰ καὶ αὐτὴ διαφθαρεῖσα*
13 *κατὰ τὴν γασlέρα κακόχυμος ἱκανῶς γίνεται. Τῶν δὲ λαχάνων οὐδὲν
μὲν εὔχυμόν ἐσlιν, ἐν μέσῳ δὲ εὐχύμων τε καὶ κακοχύμων θρίδαξ
ἐσlὶ καὶ ἴντυβοι, καὶ μετὰ ταῦτα μαλάχη, εἶτα ἀτράφαξυς καὶ ἀν-*
14 *δράχνη καὶ βλίτον καὶ λάπαθον. Αἱ δὲ ῥίζαι τῶν λαχανωδῶν φυτῶν
κακόχυμοι μὲν ὅσαι δριμεῖαι, καθάπερ ἡ τῶν κρομμύων καὶ πρά-
σων καὶ σκορόδων καὶ ῥαφανίδων καὶ δαύκου· μέσαι δὲ εὐχύμων*

1. *Νεβροί* BP. — 3. *ἧτlον..... ὑῶν* om. BP. — 4. *τά* ex em.; om. Codd. — Ib. *τηγανισlά* BP. — 5. *δέ* BP. — Ib. *μυκήτων*] *βωλιτῶν* Codd. Cf. t. I, p. 218. — 7. *Ἐρέβινθοι οὐκ εὔχυμοι* BP. — 7-8. *τοσοῦτον..... κρείτlων*] *ἔλυμος* A; *χειρίσlη* BP. — 10-11. *ζύγαιναι, γόγγροι, φάγροι* om. Codd. Cf. t. I, p. 219. — 15. *μή* A. — 17. *μηλοπέπονες* om. A text. BFP; *πέπονες* A marg. Cf. t. I, p. 220. — Ib. *αὔτη* A. — 19. *ἐσlιν* A. — 21. *καί* ante *ἴντυβοι* om. Codd. Cf. t. I, p. 220. — Ib. *καί* ante *μετά* om. A. — 22. *λάπαθα* F. — 23. *ἡ* om. Codd. Cf. t. I, p. 220. — Ib. *τὸ κρόμμυον* A. — 23-24. *καὶ τὸ σκόρδον καὶ πράσον* A. — 24. *καὶ ῥαφ. δὲ καί* A. — Ib. *δαύκων* F 1ª m. BP.

καὶ κακοχύμων αἵ τε τῶν ἄρων εἰσὶ καὶ τῶν γογγυλίδων ἃς βου-
νιάδας ὀνομάζουσι, καὶ τῆς καλουμένης καροῦς. Ὤκιμον κακοχυμό- 15
τατον· γογγυλὶς ἡ ὠμοτέρα, κράμβη, βολβοὶ μὴ καλῶς ἑψηθέντες.
Κρόμμυα δὲ καὶ σκόροδα καὶ πράσα καὶ ἀμπελόπρασα δίσεφθα 16
γενόμενα τὴν κακοχυμίαν ἀποτίθεται. Κακόχυμα δέ ἐστι πάντα 17
ἐσχάτως ἃ καλοῦσιν ἄγρια λάχανα, θριδακίνη, χονδρίλη, σκάνδιξ,
γιγγίδιον, σέρις, κιχώριον. Οἴνων οἱ παχεῖς ἅμα καὶ δυσώδεις καὶ 18
ἀηδεῖς καὶ αὐστηροὶ, οἷός ἐστιν ὁ φαῦλος βιθυνὸς ὁ ἐν τοῖς μεγά-
λοις κεραμίοις· ὁ γὰρ ἐν τοῖς μικροῖς οὔτε εὔχυμός ἐστιν, οὔτε κακό-
χυμος, ἀλλὰ μέσος.

ιϛʹ. Ὅσα εὔπεπτα.

Ἄρτοι οἱ καλῶς σκευασθέντες, ἰχθύων οἱ πετραῖοι πάντες, κω- 1
βιὸς, νάρκη, τρυγών. Παντὸς τοῦ γένους τῶν πτηνῶν ὀρνίθων ἡ 2
σὰρξ παραβαλλομένη τῷ γένει τῶν πεζῶν εὐπεπτοτέρα τυγχάνει,
καὶ μάλιστα πέρδικος, ἀτταγῆνός τε καὶ περιστερᾶς, ἀλεκτορίδος
τε καὶ ἀλεκτρυόνος καὶ φασιανικῶν. Τὰ πτερὰ τῶν χηνῶν εὔπεπτα, 3
καὶ μᾶλλον τὰ τῶν ἀλεκτορίδων, καὶ καθόλου κάλλιστα μὲν τὰ τῶν
εὐτραφῶν τε καὶ νέων πτερὰ, χείριστα δὲ τὰ τῶν ἰσχνῶν καὶ γε-
γηρακότων. Τῶν σιτευθέντων διὰ ὀροῦ γάλακτος χηνῶν τὸ ἧπαρ, 4
καὶ τῶν ὁμοίως τραφέντων ἀλεκτρυόνων οἱ ὄρχεις εὐπεπτότατοι.
Τὰ κρέα τῶν ὑῶν εἰς πέψιν ἐπιτηδειότερα, τοῖς μὲν ἀκμάζουσι καὶ 5
διαπονουμένοις τὰ τῶν ἀκμαζόντων, τοῖς δὲ ἄλλοις τὰ τῶν ἔτι αὐ-
ξανομένων· τῶν δὲ τελείων βοῶν οἱ μόσχοι βελτίους εἰσὶν εἰς
πέψιν, καὶ οἱ ἔριφοι τῶν αἰγῶν. Πάντων τῶν ἔτι αὐξανομένων ἡ 6

1. τε καί A. — Ib. καὶ αἱ τῶν BP. — 2-3. κακόχυμον A. — 4. τε BFP. — 5-6. δὲ πάντα καὶ τὰ ἄγρια A. — 7. Οἶνοι BP. — 7-8. καὶ ἀηδεῖς om. BP. — Ch. 16; l. 11. οἱ om. Codd. Cf. t. I, p. 221. — Ib. οἱ πετραῖοι τῶν ἰχθύων BP. — Ib. πάντες om. A. — 12. τοῦ ex em.; om. Codd. — 16. καί ante καθόλου om. Codd. Cf. t. I, p. 222. — 20. κρέα] ἄκρα Codd. Cf. t. I, p. 222. — Ib. ἐπιτηδειότατα BP. — 20-22. Τοῖς... αὐξανομένων om. Codd. Cf. t. I, p. 222. — 23. καί ante οἱ om. Codd. Cf. t. I, p. 222.

σὰρξ εὐπεπlοτέρα τῆς τῶν παρακμαζόντων ἐσlὶ, καὶ τῶν ἐν ξηροῖς
7 τόποις διαιτωμένων εὐπεπlοτέρα τῆς τῶν ἄλλων. Τὸ βασιλικὸν
8 κάρυον πέτlεται μᾶλλον τοῦ λεπlοκαρύου. Βολϐοὶ πεφθῆναι ῥᾴους
9 οἱ δίσεφθοι. Ὠὰ τρομητὰ καὶ ῥοφητὰ, θρίδακες, ἴντυϐοι, μαλάχη,
10 κολοκύνθη ἑφθὴ, ὅταν μὴ διαφθαρῇ. Οἱ γλυκεῖς οἶνοι τῶν αὐσlηρῶν
11 πέτlονται μᾶλλον. Ἄμεινον δὲ εἰς τὴν πέψιν ἰσlέον εἶναι τῶν ἐξί-
σης ὑγιεινῶν τὸ ἥδιον.

ιζʹ. Ὅσα δύσπεπlα.

1 Αἴγεια κρέα, βόεια, ἐλάφεια· χειρίσlη δὲ τῶν τράγων ἡ σὰρξ
πρὸς πέψιν, ἐφεξῆς δὲ ἡ τῶν κριῶν, εἶτα ἡ τῶν ταύρων· καὶ τὰ
πρεσϐυτικὰ δὲ τῶν ζῴων χείρισlα, καὶ τῶν ὑῶν αὐτῶν οἱ γηρά-
2 σαντες. Γασlὴρ δύσπεπlος, ἔντερα, μήτρα, καλλωσὸν, καρδία,
ἧπαρ, ὦτα, οὐρὰ, νεφροὶ, σπλάγχνα πάντα, ἐγκέφαλος, νωτιαῖος,
καὶ οἱ τῶν τελείων ζῴων ὄρχεις, ἅπαν αἷμα, χῆνες πλὴν τῶν πlε-
3 ρῶν. Φατlῶν, κιχλῶν, κοτlύφων καὶ τῶν μικρῶν σlρουθίων σκλη-
ροτέρα ἡ σάρξ ἐσlι, καὶ ἔτι μᾶλλον τρυγόνος καὶ νήτlης, καὶ πλέον
4 ἡ τοῦ ταῶνος καὶ ἡ τῶν ὠτίδων. Αἱ κοιλίαι πᾶσαι τῶν πlηνῶν
δύσπεπlοι· ψευδῶς γὰρ ἐπαινοῦσιν ἔνιοι τὴν τῆς σlρουθοκαμήλου
καὶ αἰθυίας ὥς τι φάρμακον πεπlικόν· οὔτε αὐταὶ γὰρ πέτlονται
5 ῥᾳδίως, οὔτε ἄλλων σιτίων πεπlικόν εἰσι φάρμακον. Κοχλίαι
δύσπεπlοι, ὀξύγαλα, καὶ μάλισlα τοῖς ψυχρὰν ἔχουσι τὴν κοιλίαν·
τυρὸς παλαιός· ὁ δὲ νέος, καὶ μάλισlα ὁ ὀξυγαλάκτινος, καλλίων.
6 Πορφυρῶν ἡ σὰρξ καὶ κηρύκων, καὶ τῶν ἄλλων ὀσlρακοδέρμων τὰ
7 σκληρὰν ἔχοντα τὴν σάρκα, δύσπεπlα. Ἀσlακοὶ, πάγουροι, καρκί-
νοι, κάραϐοι, καρῖδες, καὶ πάντα τὰ τοιαῦτα, πολύποδες, σηπίαι,
τευθίδες, καὶ πάντα τὰ καλούμενα μαλακόδερμα, βάτοι, λειόϐατοι,

4. καὶ μαλάχη BP. — Ch. 17; l. 8. κρέα om. Codd. Cf. t. I, p. 223. — 9. δὲ κριῶν Codd. Cf. t. I, p. 223. — Ib. ἡ ταύρων Codd. Cf. t. I, p. 223. — 10-11. γεγηρακότες BP. — 12. οὐραί Codd. Cf. t. I, p. 223. — 20-21. ὀξύγαλα..... νέος καὶ μάλισlα om. BP. — 20. μᾶλλον A. — 22. καὶ τῶν ἄλλων om. A. — 22-23. τὴν σκληρὰν ἔχοντα σάρκα ὀσlρακοδέρμων A.

ῥῖναι, δράκοντες, κόκκυγες, γαλεώνυμοι, σκορπίοι, τράχουροι,
τρίγλαι, ὀρφοὶ, γλαῦκοι, ζύγαιναι, σάλπαι, γόγγροι, φάγροι,
λαμίαι, ἀετοὶ, ᾠὰ ὀπ1ὰ, ἑφθὰ, ταγηνισ1ὰ, ϖυροὶ ἑφθοὶ, ὁ καλού-
μενος τράγος. Τὸ κρίμνον δυσπεπ1ότερον ἀλφίτου. Τίφαι, βρόμος 8-9
καὶ οἱ ἐξ αὐτῶν ἄρτοι, κύαμοι, ὦχροι, δόλιχοι, φάσηλοι, λάθυροι,
ἄρακοι, ἐρέβινθοι, ὄρυζα, θέρμοι, μελίνη, κέγχρος, καὶ ὅσα
τοιαῦτα, ἀφάκη, βίκος, σήσαμον, ἐρύσιμον, κάσ1ανα, βάλανοι,
μῆλα καὶ ἄπιοι, καὶ σῦκα ϖρὶν ϖεπανθῆναι, σ1αφυλαὶ ὀξεῖαι καὶ
αὐσ1ηραὶ, φοίνικες ϖάντες, κεράτια, κίτριον· εἰ δὲ ὡς φαρμάκῳ
τις χρῷτο, τὸ ἔξωθεν αὐτοῦ συντελέσει ϖρὸς ϖέψιν, ὥσπερ καὶ
φαίνοιτο μὴ μεμιγμένα τοῖς διαχωρήμασιν, ἐν τοῖς παχέσιν ἐντέροις
τὴν διάθεσιν εἶναι τεκμαιρόμεθα· δυσεντερικαί τε διαθέσεις κυρίως
2 ἄμφω καλοῦνται. Συμβαίνει δέ ποτε πολλοῦ αἵματος ἔκκρισιν γε-
νέσθαι μόνου · ταύτην ἔνιοι τῶν ἰατρῶν αἱματηρὰν ὀνομάζουσι δυσ-
3 εντερίαν. Τούτων δὲ ἔξωθέν ἐσΊιν ἄλλη τις διάθεσις ἐν τοῖς κατὰ
γασΊέρα τόποις καὶ τὰ ἔντερα, κατὰ ἣν μετὰ τὴν προσφορὰν τῶν
σιτίων ἡ διαχώρησις αὐτοῖς γίνεται ταχέως οὐδεμίαν ἐσχηκότων
μεταβολὴν, ἀλλὰ ὠμῶν καὶ ἀτρίπΊων καὶ ἀχυλώτων διαχωρούντων,
4 καὶ πάντες ὠνόμασαν τὸ πάθος λειεντερίαν. Ταύτην τὴν διάθεσιν

dications et quelquefois de coliques, et que nous remarquons des stries
sanguinolentes, indiquent qu'il existe une ulcération aux intestins grêles;
enfin, si la tension est moindre vers le bas, s'il n'y a ni graisse ni sang
mêlé aux autres matières, on doit reconnaître que la maladie a son
siége dans les gros intestins; les deux maladies décrites en dernier lieu
2 sont appelées *maladies dyssentériques* proprement dites. Il arrive parfois
qu'il survient une excrétion abondante de sang pur; quelques méde-
3 cins appellent cet accident *dyssenterie sanguinolente*. Outre les maladies
que nous venons de décrire, il y en a encore une autre qui appartient
à la région de l'estomac et des intestins, et dans laquelle les malades,
peu de temps après avoir mangé, rendent les aliments sans qu'ils aient
subi aucune transformation, c'est-à-dire sans avoir été digérés, triturés
ou changés en chyle; tous les médecins appellent cette maladie *lienterie*.
4 Nous prétendons que cette maladie tient à une ulcération superficielle

3-4. τῶν..... τὰ δέ e conj.; *in gracilioribus esse intestinis, sed si* Ras.; τῶν λεπΊῶν κάτω τάσις ἐλάτΊων εἰ (ἢ F) τὰ δέ BFP; τῶν λεπΊῶν κάτωθεν ἐντέρων τὴν τάσιν εἶναι καὶ τά A; *qui in tenues* (sic) *intestina sunt ulcera, si autem in inferioribus sunt partibus, conatio minor est et quæ per ventrem egeruntur.* Vers. antiqua (Cod. 621); *quia tenuis intestina* (sic) *ulcerata sunt, si autem ad inferiores partes conationes minores sint et qui.* Vers. antiqua (Cod. 626). — 5. μή om. A. — 6. κυρίως om. BP. — 7. δέ ποτε om. A.

ἢ διὰ ἕλκωσιν ἐπιπολῆς γίνεσθαί Φαμεν κατὰ ὅλον τὸ ἔντερον, ἢ
διὰ ἀτονίαν τῆς κοιλίας οὐ δυναμένης ἀνασχέσθαι τῶν σιτίων. Πολ- 5
λάκις δὲ καὶ ἀτονοῦντος τοῦ ἥπατος ἐκκρίνεται διὰ γασ7ρὸς οἷον
κρεῶν νεοσφαγῶν ἀποπλύματι παραπλήσιον. Ἔσ7ι δὲ καὶ ἑτέρα 6
ἰδέα ἐκκρίσεως ὑδαρεσ7έρα, πετ7ούσης μὲν ἀκριϐῶς τῆς γασ7ρὸς,
τῆς ἀναδόσεως δὲ μὴ γινομένης. Ἐκκρίνεται μήν ποτε καὶ αἷμα μελάντερον 7
λάντερον τοῦ κατὰ Φύσιν καὶ σ7ιλπνὸν, μὴ πέτ7οντος καλῶς τοῦ
ἥπατος τὴν ἀναδιδομένην τροφήν.

ιγʹ. Τεινεσμοῦ θεραπεία.

Κατὰ ἀρχὰς εὐθέως ἐμϐρεκτέον ἐλαίῳ μυρσινίνῳ ἢ ῥοδίνῳ μετὰ 1
οἴνου τό τε ἦτρον καὶ τοὺς βουϐῶνας καὶ τὸν περίνεον, εἶτα δοτέον
αἰγείου γάλακτος κοτύλης μὴ ἔλατ7ον νεοϐδάλτου· δοτέον δὲ μὴ
ἀθρόως, ἀλλὰ μεμερισμένως. Τῇ δὲ ἑξῆς τὸ ἐξικμασθὲν διδόσθω γάλα· 2

de tout le canal intestinal ou à un relâchement de l'estomac, qui ne peut
supporter les aliments. Souvent, quand le foie est relâché, on rejette 5
par les selles des matières qui ressemblent à de la lavure de chair d'ani-
maux fraîchement tués. Il y a encore une autre espèce d'excrétion 6
alvine plus ou moins aqueuse, qui a lieu lorsque l'estomac digère par-
faitement bien, mais sans que les aliments soient distribués dans le
corps. Quelquefois encore on rejette du sang rutilant et plus noir que 7
dans l'état normal, ce qui a lieu lorsque le foie ne digère pas bien les
aliments qui lui sont envoyés.

13. TRAITEMENT DU TÉNESME.

Dès le début, on fait sur le pubis, les aines et le périnée, des embro- 1
cations avec de l'huile aux feuilles de myrte, ou de l'huile aux roses
combinées au vin; ensuite on donne une quantité de lait de chèvre ré-
cemment trait qui ne soit pas moindre d'un cotyle; seulement, on ne
donne pas ce lait d'un seul coup, mais par portions. Le lendemain, on 2
administre du lait dont on a enlevé les parties les plus liquides; à cet

3-5. *οἷον..... γασ7ρός* om. A. — 6. *μήν*] *μέν* BFP.

ἡψήσθω δὲ μέχρι ἡμίσους ἢ διμοίρου, τῆς ἐφισταμένης λάμπης
3 ἀφαιρουμένης. Πρὸς τοὺς κάτω δὲ τόπους ἐμβροχὴ διὰ ἐλαίου γι-
4 νέσθω, κύμινον λεῖον ἢ σέλινον ἐμπεπασμένον ἔχοντος. Ἐνιέσθω δὲ
εἰς τὸ ἀπευθυσμένον πτισάνης χυλὸς ῥόδων ἐνηψημένων, ἢ γάλα,
5 ἢ χόνδρος, ἢ φακῆ καὶ σιδίων. Βιαιοτέρας δὲ οὔσης τῆς φλεγμονῆς
ἔλαιον γλυκὺ προσηνῶς θερμὸν ἐνεθὲν καὶ κατασχεθὲν ὥραις πλείοσι
6 τὴν περιωδυνίαν ἔλυσεν. Καὶ πυρία δὲ παραληπτέα κατὰ μὲν ἦτρον
διὰ σακκίου πεφρυγμένην κέγχρον ἢ ἅλας ἔχοντος· εἰς δὲ τὴν ἕδραν
διὰ σπόγγων ἢ ἀγαθίδος τεθλιμμένης, ἢ μυρσίνης ἢ βάτου ἢ σιδίων
ἀφεψήματος.

ιδʹ. Δυσεντερίας ἴασις.

1 Ἐὰν μὲν αὐτὸ τοῦτο μόνον ἕλκωσις ᾖ, μηδενὸς ἐπιῤῥέοντος ἔτι,
διὰ μιᾶς ἐνέσεως ἰσχυροῦ φαρμάκου ῥύπτεταί τε καὶ θεραπεύεται

effet, on le réduit par la coction à la moitié ou aux deux tiers, en en-
3 levant la graisse qui se rassemble à la surface. Sur les parties inférieures
on fait une embrocation avec de l'huile saupoudrée de cumin ou de
4 céleri réduits en poudre impalpable. On injecte dans le rectum de la
crème d'orge mondé, dans laquelle on a fait bouillir des roses, ou du
lait, ou de l'alica, ou des lentilles cuites dans lesquelles on a également
5 fait bouillir des écorces de grenade. S'il existe une inflammation plus
violente, l'acuité des douleurs est réprimée par un lavement d'huile
douce qu'on injecte à une température tiède et qu'on fait garder plu-
6 sieurs heures de suite. Il faut aussi recourir à une fomentation prati-
quée sur le pubis avec un sachet contenant du millet grillé ou du sel,
tandis qu'on fomente le rectum avec une éponge ou un écheveau de fil
comprimé et trempé dans une décoction de feuilles de myrte, de ronce
ou d'écorces de grenade.

14. TRAITEMENT DE LA DYSSENTERIE.

1 S'il n'y a absolument rien qu'une ulcération, et s'il n'existe plus
aucun afflux, il suffit ordinairement, pour faire disparaître et guérir cette
maladie, de donner un seul lavement composé d'un médicament actif;

9. ἀγαθίδος e conj.; ἀγαθίδα Paul.; ἀκακίαν Codd.

τοὐπίπαν· εἰ δὲ μὴ, δευτέρας γοῦν προστεθείσης, οὐκέτι δέονται
τρίτης. Ἀπὸ μὲν οὖν τῆς ξανθῆς χολῆς εἰ γένοιτο δυσεντερία, ἰώμεθα 2
τοὐπίπαν αὐτήν· εἰ δὲ ἀπὸ μελαίνης χολῆς, ἀνίατός ἐστιν, οὐδὲν
διαφέρουσα καρκίνου τοῦ μετὰ ἑλκώσεως.

ιε'. Πρὸς δυσεντερικοὺς καὶ κοιλιακούς. Ἐκ τῶν Γαληνοῦ.

Λημνία σφραγὶς καὶ τὴν ἤδη νεμομένην δυσεντερίαν ἰᾶται πινο- 1
μένη τε καὶ ἐνιεμένη· δεῖ δὲ προαποκλύζειν τὴν ἕλκωσιν μελικράτῳ
πρῶτον ἀκρατεστέρῳ, κἄπειτα ἅλμῃ, καὶ μετὰ ταῦτα τὴν λημνίαν
ἐνιέναι διὰ ἀρνογλώσσου χυλοῦ· πινέσθω δὲ διὰ ὑδαροῦς ὀξυκράτου.
Γάλα τὸ τυρῶδες· γίνεται δὲ τοιοῦτον κοχλάκων διαπύρων ἐμβλη- 2
θέντων εἰς αὐτὸ καὶ ἑψόμενον ἄχρις ἂν ἀναλωθῇ τοῦ ὀροῦ τὸ πλεῖ-
στον· κάλλιστόν ἐστιν ἴαμα δυσεντερικοῖς καὶ πᾶσι τοῖς κατὰ
γαστέρα δριμέσι ῥεύμασιν. Κυνείαν δὲ κόπρον λείαν τῷ οὕτω σκευα- 3

quand cela ne suffit pas, on n'a qu'à donner un second lavement de
même nature, et les malades n'en auront pas besoin d'un troisième.
Nous guérissons ordinairement la dyssenterie, si elle tire son origine 2
de la bile jaune; mais, si elle provient de la bile noire, elle est incu-
rable, attendu qu'elle ne diffère en rien du carcinome ulcéré.

15. REMÈDES CONTRE LA DYSSENTERIE ET CONTRE LE FLUX CÉLIAQUE. — TIRÉ DE GALIEN.

Qu'on donne à boire ou qu'on administre sous forme de lavement 1
la terre sigillaire de Lemnos, elle guérit la dyssenterie, même lorsque
cette maladie a déjà produit des ulcères envahissants; mais on doit
d'abord laver les ulcères avec de l'eau miellée contenant moins d'eau
que de coutume, et ensuite avec de l'eau salée; après cela on injecte la
terre sigillaire délayée dans du suc de plantain; on la boit avec de l'eau
vinaigrée contenant peu de vinaigre. Le lait caséeux (on communique 2
cette qualité au lait en y mettant des cailloux incandescents et en le faisant
bouillir jusqu'à ce que la plus grande partie du sérum soit consumée)
est un excellent remède contre la dyssenterie. Si vous ajoutez des excré- 3

3. τοὐπίπ. om. A. — Ch. 15; tit. Ἐκ τῶν Γαλ. Vers. antiq.; om. Codd.

σθέντι γάλακτι μίξας φάρμακον ποιήσεις ἄκρως ὠφελοῦν δυσεντε-
ρικούς· δεῖ δὲ τὸν κύνα μηδὲν ἕτερον ἢ ὀστᾶ φαγεῖν· γενήσεται γὰρ
4 οὕτως ἡ κόπρος οὔτε δυσώδης καὶ λευκή. Ξηραίνει δὲ τὰ κατὰ κοι-
λίαν ῥεύματα καὶ ᾠὰ διὰ ὄξους ἑψηθέντα καὶ βρωθέντα· εἰ δὲ καὶ
μῖξαί τι βουληθείης τῶν πρὸς δυσεντερικὴν ἢ κοιλιακὴν διάθεσιν
ἁρμοττόντων, ταγηνίσας τε ἐπὶ ἀκάπνου πυρὸς δοίης προσενεγκέ-
5 σθαι, μεγάλως ὀνήσεις τὸν ἄνθρωπον. Χρησιμώτατον δέ ἐστι πρὸς
τὴν χρῆσιν ὀμφάκιον, ῥοῦς ἐρυθρὸς καὶ ὁ χυλὸς αὐτοῦ, τέφρα κο-
χλιῶν ὅλων ὀπτηθέντων, σίδια, κηκὶς, γίγαρτα, μέσπιλα, μύρτα,
6 κράνα. Κοχλιῶν καυθέντων μετὰ τῶν ὀστράκων τῆς τέφρας μέρη δ',
κηκῖδος μέρη β', πεπέρεως μέρος ἕν· χνοώδη ποιήσας ταῦτα, τοῖς
τε ὄψοις ἐπιπάττων δίδου ἐν ὕδατι ἢ οἴνῳ λευκῷ καὶ ὑδαρεῖ πίνειν.
7 Γενναίως ὠφελεῖ τοῦτο δυσεντερίας, ὅσαις οὐδέπω σηπεδονῶδες
8 ἐγεγόνει τὸ ἕλκος. Ἀνδράχνης χυλὸς ἐπιτήδειος δυσεντερικοῖς πι-

ments de chien triturés à du lait ainsi préparé, vous obtiendrez un mé-
dicament éminemment utile contre la dyssenterie; mais le chien ne doit
avoir rien mangé que des os; car, de cette manière, ses excréments
4 deviendront blancs et perdront leur odeur. Des œufs bouillis dans le
vinaigre et mangés dessèchent les flux de ventre; si vous voulez, en
outre, ajouter à ces œufs quelqu'un des médicaments qui conviennent
contre la dyssenterie ou le flux céliaque et que vous les donniez à manger
frits dans une poêle placée sur un feu qui ne fume pas, vous soulagerez
5 beaucoup. Les médicaments qui se prêtent le mieux à cet usage sont le
verjus, le sumac rouge et le suc de cette substance, la cendre d'escar-
gots grillés en entier, les écorces de grenades, les noix de galle, les
6 pepins de raisin, les nèfles, les baies de myrte et les cornouilles. Cendre
d'escargots brûlés avec leurs coquilles quatre parties, noix de galle deux
parties, poivre une partie; réduisez ces substances en poudre impal-
pable, saupoudrez-en les mets accessoires et donnez-les à boire dans de
7 l'eau ou du vin blanc et aqueux. Ce remède est d'un secours efficace
contre la dyssenterie, quand l'ulcère n'est pas encore devenu putrila-
8 gineux. Le suc de pourpier pris sous forme de boisson convient contre

3-4. κατὰ τὴν κ. ABP. — 5. τι om. BFP. — 6-7. προσενέγκασθαι ABP.

νόμενος. Ἁρμόττει δὲ καὶ ἀρνόγλωσσον, καὶ βάτου ὁ καρπὸς καὶ τὰ 9
φύλλα. Ἀλθαίας τῆς ῥίζης τὸ ἀφέψημα πρός τε δυσεντερίαν καὶ 10
διάρροιαν ὠφέλιμόν ἐστιν. Καὶ ἵππουρις γενναῖόν ἐστι φάρμακον 11
διὰ ὕδατος ἢ οἴνου πινομένη, καὶ ὁ χυλὸς αὐτῆς ὁμοίως. Τὰς διαρ- 12
ῥοίας ἰᾶται ἀδίαντον, παλιούρου τὰ φύλλα καὶ ἡ ῥίζα, πίτυος καὶ
πεύκης φλοιὸς, φακὴ δίσεφθος, τοῦ προτέρου ὕδατος ἀποχυθέντος.
Γίγαρτα πᾶσι τοῖς κατὰ γαστέρα καὶ ἔντερα πάθεσι ῥοώδεσιν ἱκανῶς 13
βοηθεῖ· νάρδου στάχυς, ὀξυακάνθου ὁ καρπὸς ἐσθιόμενός τε καὶ πινό-
μενος. Ἄκανθα λευκὴ κοιλιακοὺς καὶ στομαχικοὺς ὠφελεῖ. Μορέας 14-15
ὁ ἄωρος καρπὸς ξηρανθεὶς στεγνωτικὸν ἱκανῶς γίνεται φάρμακον,
ὥστε καὶ πρὸς δυσεντερίας ἁρμόττειν καὶ κοιλιακὰς διαθέσεις καὶ
τὰς ἄλλας ὅσαι ῥοώδεις· κόπτεται δὲ καὶ τοῖς ὄψοις μίγνυται, κα-
θάπερ ὁ τῆς ῥοῦ καρπὸς, ἢ εἴ τις ἐθέλοι, διὰ ὕδατος ἢ οἴνου πίνεται.

la dyssenterie. Le plantain, ainsi que le fruit et les feuilles de la ronce 9
sont également bons. Une décoction de racine de guimauve est utile 10
contre la dyssenterie et la diarrhée. La prêle est aussi un médicament 11
efficace, quand on la prend sous forme de boisson avec de l'eau ou du
vin; il en est de même du suc de cette plante. La diarrhée est guérie 12
par le capillaire, les feuilles et la racine d'argalou, l'écorce du pin ordi-
naire ou du pin à torches, les lentilles bouillies pour la seconde fois,
après qu'on a jeté la première eau. Les pepins de raisin sont très-profi- 13
tables pour toutes les maladies de l'estomac et des intestins qui tiennent
de la nature des flux; l'épi de nard et le fruit du buisson ardent, qu'on
le mange ou qu'on le prenne sous forme de boisson, sont aussi des
remèdes contre la diarrhée. Le cnicus ferox procure du soulagement 14
aux gens affectés de flux céliaque ou de maladies de l'orifice de l'esto-
mac. Si on sèche le fruit vert du mûrier, on obtient un médicament 15
assez fortement resserrant pour qu'on puisse l'employer avec efficacité
contre la dyssenterie, contre le flux céliaque et contre toutes les autres
maladies qui tiennent de la nature des flux; on le pile et on le mêle
aux mets accessoires, comme on le fait pour le fruit du sumac; ou, si
on aime mieux, on le prend sous forme de boisson avec de l'eau ou du

5. καὶ ἡ Gal.; om. Codd. — Ib. καί Gal.; om. Codd.

16 Μᾶλλον δέ ἐστιν ἐφεκτικώτερα τὰ βάτινα ὁμοίως ξηραινόμενα καὶ ἀποτιθέμενα.

ις'. Περὶ εἰλεοῦ.

1 Χαλεπόν ἐστιν ὁ εἰλεὸς τὸ πάθος, καὶ σπανίως ἐσώθη περιπεσών
2 τις αὐτῷ. Μάλιστα δὲ ὁ δυσώδης καλούμενός ἐστιν ὀλέθριος, κατὰ ὃν ἤτοι κόπρος ἐμεῖται, ἢ δυσώδης ἐστὶν ἡ ἐκπνοή, πολλάκις δὲ καὶ ἡ ἐρυγὴ τοιαύτη γίνεται, καί ποτε καὶ πᾶν ἀποτελεῖται τὸ σῶμα
3 δυσῶδες. Θαυμαστῶς δὲ ποιεῖ πρὸς αὐτοὺς, κἂν ἐμῶσι κόπρον, εἰς ἔλαιον καὶ ὕδωρ ἄνηθον ἑψηθὲν καὶ ποθέν· μετὰ δὲ τὸ πιεῖν ἄρτον εἰς θερμὸν ὕδωρ ἐμβαλὼν εὐθὺς δὸς φαγεῖν θερμοὺς τοὺς ψωμούς·
4 σωθήσεται γὰρ κἂν ἤδη πνίγηται. Πρὸς δὲ τοὺς πυκνὰ ἐμοῦντας καὶ μὴ κατέχοντας ῥοῦν καὶ κύμινον τρίψας ἐν τῷ αὐτῷ δὸς πιεῖν ἐν

16 vin. Les mûres de la ronce resserrent encore plus fortement le ventre que celles du mûrier, si toutefois on les sèche et si on les met également en réserve.

16. DE L'ILÉUS.

1-2 L'iléus est une maladie grave, et il est rare qu'on en revienne. Mais c'est surtout l'iléus dit *de mauvaise odeur* qui est pernicieux ; dans cette maladie, on vomit des excréments, ou l'air expiré a une mauvaise odeur ; souvent même les éructations acquièrent les mêmes qualités, et quel-
3 quefois tout le corps sent mauvais. C'est un remède merveilleux pour les malades, lors même qu'ils vomissent des excréments, que de boire un mélange d'eau et d'huile dans lequel on a fait bouillir de l'aneth ; après avoir fait prendre cette boisson, on met du pain dans de l'eau chaude et on fait immédiatement prendre des morceaux de ce pain ; de cette manière le malade réchappera, lors même qu'il est déjà en proie à
4 l'étouffement. Contre la fréquence des vomissements et l'impossibilité de retenir les aliments, donnez à boire, dans six cyathes ou dix onces de vinaigre miellé, du sumac et du cumin triturés ensemble, ou donnez

Ch. 16; l. 5. καί om. BFP. — 6. καί ante πᾶν om. BP. — 8. καί ante ὕδωρ om. BP. — 9. εὐθὺς προσφ. BP. — 11. ἐν post πιεῖν Vers. ant.; om. Codd.

ὀξυμέλιτος κυάθοις ϛʹ ἢ Γο ιʹ· ἢ ἀμπέλου φύλλα ἢ ἕλικας χυλίσας μετὰ ἀλφίτου δὸς πιεῖν.

ιζʹ. Πρὸς τὰς τῆς ἕδρας διαθέσεις. Ἐκ τῶν Γαληνοῦ.

Ἑψήσας κηκῖδα τὴν ξανθὴν καὶ λειώσας κατάπλασσε τὰς ἐν ἕδρᾳ 1
φλεγμονὰς καὶ προπτώσεις, ἰσχυροτέρου μὲν χρῄζων τοῦ βοηθήματος
οἴνῳ, πρᾳοτέρου δὲ ἐνέψων ὕδατι. Καὶ ὁ χυλὸς δὲ τῆς σχίνου ποιεῖ 2
πρός τε τὰς τῆς ἕδρας καὶ τὰς τῆς ὑστέρας προπτώσεις. — Ἄλλο· 3
Πίτυος φλοιοῦ ∠ηʹ, κυπαρίσσου σφαιρίων ξηρῶν ∠βʹ, μολιβδαίνης
∠βʹ. Προαπονίψας οἴνῳ στρυφνῷ λείοις κατάπασσε. Πρὸς δὲ τὰς 4-5
πυρώδεις ὀδύνας τῆς ἕδρας ᾠοῦ ὀπτοῦ λέκιθον λειώσας οἴνῳ λευκῷ
καὶ ῥοδίνῃ κηρωτῇ ἀναλαβὼν διάχριε καὶ ἔμπλασσε. Ἁρμόζει δὲ 6

à boire avec de l'alphiton du suc exprimé de feuilles ou de vrilles de vigne.

17. REMÈDES CONTRE LES AFFECTIONS DU SIÉGE. — TIRÉ DE GALIEN.

Soumettez des noix de galle jaunes à l'ébullition, triturez-les et faites- 1
en un cataplasme pour les inflammations et les chutes du rectum; si
vous avez besoin d'un remède très-actif, faites bouillir ces noix dans le
vin; si vous désirez un médicament plus doux, servez-vous d'eau. Le 2
suc de lentisque agit aussi contre les chutes du rectum et de l'utérus.
— *Autre remède :* Écorce de pin huit drachmes, boules sèches de cyprès 3
deux drachmes, galène deux drachmes. Lavez d'abord la partie avec du 4
vin très-âpre et saupoudrez-la ensuite de ces substances réduites en
poudre impalpable. Triturez le jaune d'un œuf grillé dans du vin blanc, 5
incorporez cette préparation dans du cérat à l'huile aux feuilles de myrte,
et employez ce médicament comme liniment et comme emplâtre contre
les douleurs brûlantes du siége. C'est aussi un remède convenable qu'un 6

1. ἢ ex Vers. antiq. (Cod. 626) quæ habet *autem;* om. Codd. — Ib. Γο ιʹ ex em.; χαʹ BP; ∠αʹ AF. — Ch. 17; tit. Ἐκ τῶν Γαλ. Vers. antiq.; om. Codd. — 5. ἐν οἴνῳ Codd. — 6. τάς post καί om. ABP. — Ib. τῆς om. BP. — 8. κατάπλ. Codd. — 10. καὶ ἐμπλάστρον F 2ª m. BP; om. F 1ª m. — 10-p. 495, l. 1. Ἁρμόζει δὲ ἐπὶ αὐτῶν καί Gal; om. Codd.

ἐπὶ αὐτῶν καὶ κατάπλασμα ἄρτου καθαροῦ λελειωμένου ὕδατι καὶ ῥο-
7 δίνῳ προσλαμβάνοντος καὶ ᾠοῦ λεκίθου ὀπτῆς. — Ἄλλο· Ῥόδων ξηρῶν ∠γ', ᾠῶν ὀπτῶν λεκίθους β', οἴνῳ λευκῷ λειώσας καὶ ῥοδίνῃ κη-
8 ρωτῇ ἀναλαβὼν διάχριε. Πρὸς δὲ τοὺς κνησμοὺς γῆν κιμωλίαν λειώ-
9 σας ἀνάλαμβανε κηρωτῇ μυρσινίνῃ καὶ χρῶ. Καὶ ἡ κηρωτὴ δὲ
10 ὁμοίως ποιεῖ. Πρὸς δὲ τὰς ἐν δακτυλίῳ καὶ αἰδοίῳ ῥαγάδας σποδοῦ ξυσμάτων ὀθονίων κεκαυμένων καὶ ἀμύλου ἴσον λεάνας καὶ ἐλαίας
11 φύλλων χυλὸν μίξας κατάχριε. Αἱμορροΐδας δὲ πλεοναζούσας ἐφίστησιν ἀλόη καταπασθεῖσα ἢ λεπὶς σιδήρου, μόλιβδος κεκαυμένος,
12 ὀξυκράτου προσάντλησις καὶ τῶν στυμμάτων. Ἀναστομοῖ δὲ αἱμορροΐδας μυττωτὸν ἐσθιόμενον, ἀμαράκινον ἢ ἴρινον περιχριόμενον.
13 Ἐπέχει δὲ παραχρῆμα ἀκακίας κιῤῥᾶς ∠δ', μολιβδαίνης ∠δ', τρα-
14 γακάνθης ∠β'. Κατὰ ἓν λειώσας καὶ μίξας καὶ δεύσας ὕδατι ἔμπλασσε

cataplasme de pain pur trituré dans de l'eau et de l'huile aux roses, et
7 auquel on a ajouté un jaune d'œuf grillé. — *Autre remède :* Triturez dans du vin blanc trois drachmes de roses sèches et deux jaunes d'œuf grillés, incorporez-les dans du cérat à l'huile aux roses, et faites avec ce mélange
8 des onctions sur le pourtour de l'anus. Triturez de la terre de Cimole, incorporez-la dans du cérat à l'huile aux feuilles de myrte, et em-
9 ployez-la contre les démangeaisons [du siége]. Le cérat produit le
10 même effet. Triturez parties égales de cendres de raclures de linge brûlées et d'amidon, ajoutez du suc de feuilles d'olivier, et employez ce mélange comme liniment contre les fissures à l'anus et au membre
11 génital. L'aloès, les battitures de fer et le plomb brûlé répriment, quand on les en saupoudre, les hémorroïdes trop nombreuses; une affusion d'eau vinaigrée ou de substances astringentes produit le même
12 effet. On rompt les hémorroïdes en faisant manger de la sauce à l'ail
13 ou en employant comme liniment l'huile à la marjolaine ou à l'iris. Le médicament composé de quatre drachmes de suc d'acacia rouge, de quatre drachmes de galène et de deux drachmes de gomme adragant,
14 réprime à l'instant même les hémorroïdes. Triturez ces substances en-

4. γῆν] τήν AF. — 6. αἰδοίοις BFP. — 12. κιῤῥᾶς om. BFP. — Ib. μολιβδαίνης Aët.; om. Codd. — Ib. ∠δ' ex Aët.; qui ἀνὰ ∠δ' habet; om. Codd. — 13-p. 496, l. 2. Κατὰ ἓν λειώσας.... σχιστῆς ∠β' om. BP.

εἰς ὀθόνιον καὶ ἐπιτίθει. Αἱμοῤῥοΐδας δὲ αἴρει θαυμασΊῶς κωνείου 15
ξηροῦ ∠β′, ὑοσκυάμου χυλίσματος ∠δ′, σΊυπΊηρίας σχισΊῆς ∠β′,
χαλκάνθου ∠β′, σινωπίδος ∠α′, ψιμμιθίου ∠α′, κηρωτῇ ῥοδίνῃ
ἀναληφθέντα. Καὶ ῥοᾶς ὀξείας λέπη λεῖα σὺν ὄξει ἐπιπλασθέντα. 16
Ἐὰν δὲ ἐνδοτέρω ὦσιν, ὡς μαζίον ἐντίθει. Ποιεῖ δὲ καὶ τοῦτο θαυ- 17-18
μασΊῶς· σανδαράκης, ἀρσενικοῦ, σχισΊῆς ἀνὰ ∠η′· ἐπίχριε προε-
σχηματισμένῳ. Ἀπονεκροῖ καὶ ἀποπίπΊει ἐν ἡμιωρίῳ ἀποξηραι- 19
νομένη καὶ ἀπὸ τῆς βάσεως ἀποκυλιομένη· ἀνίεται δὲ σΊακτῇ.
Κύκλῳ δὲ χρίεται κηρωτῇ, καὶ γίνεται ἐν ἡλίῳ ἢ παρὰ πυρί. 20

ιη′. Περὶ τῶν ἐν ἥπατι παθῶν. Ἐκ τῶν Γαληνοῦ.

Φλεγμονῆς οὖν οὔσης περὶ τὸ ἧπαρ ὀδύνη τε συνεδρεύει καὶ 1

semble, broyez-les, humectez-les d'eau, puis étendez-les sur un linge et
appliquez cet emplâtre. Les hémorroïdes sont admirablement enlevées 15
par le médicament suivant : deux drachmes de ciguë sèche, quatre de
suc de jusquiame, deux d'alun de plume, deux de vitriol bleu, une
drachme de minium de Sinope et une de céruse incorporées dans du
cérat à l'huile aux roses. Des cataplasmes de pelures de grenades aigres 16
triturées avec du vinaigre produisent le même effet. Si les hémorroïdes 17
sont placées plus haut à l'intérieur, introduisez ces remèdes sous forme
d'un petit pain. Le médicament suivant produit aussi un effet admi- 18
rable : réalgar, orpiment et alun de plume, de chacun huit drachmes.
Employez-le comme liniment après avoir donné une position conve-
nable au malade. La tumeur se mortifie; desséchée et arrachée de sa 19
base, elle tombe dans l'espace d'une demi-heure; on délaye ce médica-
ment dans de la lessive filtrée. On pratique des onctions avec du cérat 20
alentour, opération qui doit se faire au soleil ou près du feu.

18. DES AFFECTIONS DU FOIE. — TIRÉ DE GALIEN.

Lorsque le foie est enflammé, il y a toujours de la douleur dans la 1

3. σιναπίδος BP. — 5. ὦσιν om. A. — Ib. ἐπιτίθει AF; ἐντιθέναι BP. — 6-7. προεσχηματισμένῳ Diosc.; παρεσχηματισμένον Codd. — 9. Κύκλῳ] Κλύδῳ BP. — Ch. 18; tit. Ἐκ τῶν Γαλ. Vers. antiq.: om. Codd.

*ϖυρετὸς ϖάντως· ϖληθωρικοῦ δὲ ὄντος τοῦ σώματος κένου τε ἅμα
καὶ ϖερίσπα τὸ ϖεριτlὸν τοῦ αἵματος τέμνων φλέϐα τὴν ἐν ἀγκῶνι
τῆς δεξιᾶς χειρὸς, καὶ ὡς ἔδεσμα μὲν ϖlισάνην δίδου κατὰ ἀρχὰς,
ὡς φάρμακον δὲ ὀξύμελι κεκραμένον ὑδαρέσlερον, καὶ ἀφέψημα*
2 *σελίνου. Μετὰ ταῦτα δὲ ἤδη ϖετlομένης τῆς φλεγμονῆς, καὶ ἀσάρῳ
χρήσῃ καὶ κελτικῇ νάρδῳ καὶ ϖετροσελίνῳ, καὶ σχοίνου ἄνθει, καὶ
τοῖς ὑπάγουσι δὲ, ἀκαλήφῃ καὶ λινοζώσlει καὶ ἐπιθύμῳ· κατὰ δὲ*
3 *τὰς ϖαρακμὰς καὶ ϖολυποδίῳ. Δεῖ δὲ κενοῦν καὶ διὰ κλυσlήρων, ἐν
ἀρχαῖς μὲν μελικράτῳ μετὰ ἁλῶν καὶ νίτρου, ϖαρακμῆς δὲ ἐνεσlώ-
σης μηνύειν ὕσσωπον ἢ ὀρίγανον ἢ κολοκυνθίδα· χρεία γάρ ἐσlι*
4 *τῷ σπλάγχνῳ ῥᾳδίως σκιῤῥουμένῳ τῶν ῥυπlόντων. Ὅταν δὲ ὀδύνη
χωρὶς ϖυρετοῦ συμπέσῃ, χρὴ γινώσκειν, ἔμφραξιν εἶναι ϖερὶ τὸ
σπλάγχνον σφοδρὰν ὑπὸ ϖαχέων καὶ γλίσχρων χυμῶν γενομένην.*

région hépatique et de la fièvre; si le malade est pléthorique, faites
une saignée au pli du bras droit, pour évacuer et pour opérer une
révulsion de la partie surabondante du sang; puis, donnez au com-
mencement, comme aliment, de la ptisane, et comme médicament du
vinaigre miellé, dans lequel il y a plus d'eau que de coutume, et une
2 décoction de céleri. Après cela, quand l'inflammation mûrit. vous em-
ployez du cabaret, du nard celtique, du persil et du jonc odorant, ainsi
que les médicaments qui relâchent le ventre, comme l'ortie, la mercu-
riale et l'agourre; à l'époque du déclin, servez-vous aussi de la fouge-
3 role. Il faut encore opérer des évacuations à l'aide de lavements com-
posés, au commencement, d'eau miellée qui contienne du sel ou de la
soude brute; mais, quand on est arrivé au déclin, on y met de l'*hysope*,
de l'origan ou de la coloquinte; car le foie a besoin de substances déter-
4 gentes, attendu qu'il est facilement pris de *squirre*. Lorsqu'il survient
une douleur [du foie] non accompagnée de fièvre, il faut reconnaître que
ce viscère est frappé d'une obstruction grave causée par des humeurs

1-2. *κένου τε ἅμα....... τοῦ αἵματος* om. A. — 1. *κένου τε* ex em.; *κενοῦ τε* *ad Eun.*; *κενοῦται* F 2ª m. BP; *κενεῖται* F 1ª m.; *κενωτέον* Gal. — 2. *καί* *ad Eun.* Gal.; *τε καί* Codd. — Ib. *ϖερίσπα* ex em.; *ϖερισπᾶν* *ad Eun.*; *ϖερισπᾶται* Codd. — Ib. *τήν* om. F. — 3. *καί* om. A. — Ib. *ϖlισάνης* BP. — 11. *Ὅτε* BFP. — 13. *καί*] *ἤ* BP; *δέ* A. — Ib. *χυμῶν*] *ὑγρῶν* A.

Ἀρχόμενον οὖν σκίῤῥον ἰάσαιτο ἄν τις· χρονίσαντα δὲ οὐδαμῶς· 5
ὑδεριῶσι γὰρ οἷς ἂν σκιῤῥωθῇ, καὶ ἐν πλείονι χρόνῳ διαφθείρονται·
τοὺς δὲ οὖν θεραπευθῆναι δυναμένους διὰ τῶν θερμαινόντων καὶ
λεπτυνόντων ἰασάμεθα φαρμάκων, ἐπιμιγνύντες αὐτοῖς τὰ μαλάτ-
τοντα. Τῆς δὲ ἀτονίας τοῦ ἥπατος δυσκρασίαι μέν εἰσιν αἰτίαι· 6
δυσφωρατόταται δὲ ἱκανῶς καὶ ποικίλας καὶ χαλεπωτάτας ἐπά-
γουσαι συμπτωμάτων ἰδέας, μηδὲ τοῖς τεχνίταις αὐτοῖς εὐμεταχει-
ρίστους. Ἄγνου σπέρμα σκιῤῥούμενον ἧπαρ ὠφελεῖ καὶ ἐμπεφραγ- 7
μένον, ἀρνογλώσσου ξηροῦ αἱ ῥίζαι καὶ ὁ καρπὸς καὶ τὰ φύλλα,
μυάκανθος, καὶ μάλιστα τὸ σπέρμα καὶ αἱ ῥίζαι, δάφνης ῥίζης ὁ
φλοιὸς πινόμενος τριώβολον ἐν οἴνῳ εὐώδει, εὐπατόριον καὶ μετὰ
τοῦ τόνον ἐντιθέναι τῷ μορίῳ θέρμων πικρῶν ἀφέψημα μετὰ πη-
γάνου καὶ πεπέρεως πινόμενον καὶ τὸ ἄλευρον αὐτῶν καταπλασσό-
μενον, κάπνιος μετὰ τοῦ τόνον ἐντιθέναι, νάρδου σΊάχυς πινομένη
καὶ ἔξωθεν ἐπιτιθεμένη, ἶρις, πισΊακίου ὁ καρπὸς, πράσιον, ἀμύγ-

épaisses et visqueuses. On peut guérir un *squirre* commençant; mais, 5
quand cette affection est devenue chronique, il n'y a plus moyen; car
les malades deviennent hydropiques, et ils meurent après un espace de
temps assez long; ceux qui étaient susceptibles d'être traités nous les
avons guéris à l'aide de médicaments échauffants et atténuants, auxquels
nous ajoutions des substances ramollissantes. Les vices du tempérament 6
sont la cause de la faiblesse du foie; mais ces vices sont très-difficiles à
reconnaître et amènent des symptômes variés très-graves, dont les gens
du métier ne triomphent même pas facilement. La graine de gattilier 7
est utile en cas d'obstruction ou de *squirre* du foie; il en est de même
des racines, du fruit et des feuilles de plantain desséché, de l'asperge,
et surtout de la graine et des racines de cette plante, de l'écorce de
racine de laurier, dont on doit boire trois oboles dans du vin odorifé-
rant, de l'eupatoire, qui donne, en outre, du ton au viscère, d'une dé-
coction de lupins amers, qu'on prend sous forme de boisson avec de la
rue ou du poivre, d'un cataplasme de farine de ces légumes, de la fu-
meterre, qui donne, en outre, du ton au viscère, de l'épi de nard, qu'on
le prenne sous forme de boisson ou qu'on l'applique à l'extérieur, de

11-12. μετατωνὶ (sic) ἐντιθέναι BFP.

8 δαλα. Δρακοντίου ἡ ῥίζα διακαθαίρει τὰ σπλάγχνα πάντα καὶ λε-
9 πτύνει τοὺς παχεῖς καὶ γλίσχρους χυμούς· ἀγαρικόν. Ἀνθεμὶς ἢ χα
10 μαίμηλον εὐμενές ἐστιν ὑποχονδρίοις πάντων μάλιστα. Κιχόρια καὶ
σέρις ταῖς θερμαῖς τοῦ ἥπατος δυσκρασίαις ἄκρως ἁρμόττουσι· τόνον
11 τε γὰρ ἐντιθέασι τῷ μορίῳ καὶ διαῤῥύπτουσιν αὐτό. Δίδου τοίνυν
κιχορίου χυλίσματος ἢ σέρεως κύαθον ἕνα μετὰ ὕδατος κυάθων τριῶν,
12 μέλιτος ἀττικοῦ ἐπιβαλὼν κοχλιάριον ἕν. Χρήσιμος δὲ οὐ μόνον ὁ
χυλὸς αὐτῶν πρόσφατός τε καὶ ἐξηραμμένος, ἀλλὰ καὶ τὰ φύλλα
ξηρὰ κοπτόμενα μετὰ ἐπιμελείας, εἶτα ἐπιπαττόμενα τῷ ποτῷ.
13-14 Κἂν ἀφεψήσας δέ τις αὐτὰ πίνῃ, καλῶς ἐνεργεῖ. Θερμῆς δὲ οὐκ
οὔσης δυσκρασίας, ἀλλὰ ἐμφράξεως μόνης αἱ πόαι πινόμεναι διὰ
15 οἴνου λευκοῦ καὶ λεπτοῦ μεγάλως ὠφελοῦσιν. Ἧπαρ λύκου λειοῦται
16 μετὰ ἀκριβείας καὶ δίδοται ∠α΄ μετὰ οἴνου γλυκέος. Τοῦτο πεῖραν
ἱκανὴν δέδωκε, καὶ πάσαις ἁρμόττει ταῖς δυσκρασίαις, ὡς ἰδιότητι

8 l'iris, des pistaches, du marrube et des amandes. La racine de serpen-
taire mondifie tous les viscères et atténue les humeurs épaisses et vis-
9 queuses; il en est de même de l'agaric. L'anthémis ou camomille est,
10 plus qu'aucun autre médicament, favorable aux hypocondres. L'endive
et la chicorée conviennent éminemment bien quand le tempérament du
foie pèche par le chaud; car ces herbes donnent du ton au viscère et le
11 nettoient en même temps. Prescrivez donc un cyathe de suc d'endive
ou de chicorée avec trois cyathes d'eau, auxquels vous ajouterez une
12 cuillerée de miel attique. Mais ce n'est pas seulement le suc de ces
herbes, soit frais, soit desséché, qui est utile; il en est de même des
feuilles desséchées, pourvu qu'on les pile avec soin et qu'on en sau-
13 poudre ensuite la boisson du malade. De plus, une décoction de ces
14 plantes produit aussi un bon effet. Quand il existe uniquement une
obstruction du foie et que le tempérament de ce viscère ne pèche pas
par le chaud, ces herbes sont très-utiles prises sous forme de boisson
15 dans du vin blanc et ténu. On triture avec soin un foie de loup, et on
16 en donne une drachme dans du vin d'un goût sucré. Ce médicament
a fait suffisamment ses preuves, et il convient contre tous les vices de
tempérament [du foie], attendu qu'il n'agit pas en vertu de quelque

1. ἡ om. A. — 10. αὐτά om. F. — 13. ∠ *ad Eun.*; κύαθος Codd.

τῆς οὐσίας ἐνεργοῦν, καὶ οὐ κατά τινα ποιότητα. Πυρετῶν δὲ ὄντων 17
οὐκ ἀμυδρῶν βέλτιον αὐτὸ διὰ ὕδατος διδόναι, καὶ ἔτι κάλλιον διά
τινος τῶν εἰρημένων χυλῶν, οἷός ἐστιν ὁ τῆς σέρεως. Καὶ τὸ Φί- 18
λωνος δὲ φάρμακον θαυμαστῶς ὅπως ἐνίοτε δοθὲν ἅπαξ ἰάσατο
θερμὴν δυσκρασίαν ἥπατος. — Σύνθετον ἐκφράττον· Ἀμυγδάλων 19
πικρῶν ∠γ', κυμίνου ∠α', σελίνου σπέρματος ∠α'. Δίδου πίνειν 20
κοχλιάριον ἓν ἐν οἴνῳ. — Τροχίσκος· Ἀνίσου, σελίνου σπέρματος, 21
ἀσάρου, ἀμυγδάλων πικρῶν κεκαθαρμένων, ἀψινθίου ἀνὰ ∠δ'.
Ὕδατι ἀναλαβὼν ἀνάπλαττε τροχίσκους ἔχοντας ἀνὰ ∠α'. Ἀπυρέ- 22-23
τοις μετὰ οἴνου κεκραμένου δίδου, πυρέττουσι δὲ μετὰ ὑδρομέλιτος.

ιθ'. Περὶ ἥπατος ἀτονίας.

Δυσκρασίαι μὲν αἰτίαι τῆς ἀτονίας τοῦ ἥπατός εἰσι, διαθέσεις δὲ 1
ἐν αὐτῷ διαφόρους ἐργάζονται. Αἱ μὲν οὖν θερμαὶ δυσκρασίαι 2

qualité [élémentaire], mais par les propriétés spéciales de sa substance.
Lorsque la fièvre est assez forte, il est préférable de prendre ce remède 17
avec de l'eau; mais il vaut encore mieux l'administrer dans un des sucs
dont nous avons parlé, par exemple dans le suc de chicorée. Le *médi-* 18
cament de Philon a guéri quelquefois d'une manière admirable le foie
dont le tempérament était trop chaud, bien qu'on n'en eût donné qu'une
seule prise. — *Médicament composé qui désobstrue :* Amandes amères trois 19
drachmes, cumin une drachme, graine de céleri une drachme. Donnez 20
à boire une cuillerée de cette composition dans du vin. — *Pastille :* Anis, 21
graine de céleri, cabaret, amandes amères mondifiées, absinthe, de
chacun quatre drachmes. Employez l'eau comme excipient et faites des 22
pastilles pesant chacune une drachme. Quand il n'y a pas de fièvre, 23
vous donnerez ce médicament avec du vin coupé; dans le cas contraire,
vous vous servirez d'hydromel.

19. DE LA FAIBLESSE DU FOIE.

Les vices du tempérament du foie sont la cause de la faiblesse de ce 1
viscère, et ils y produisent des maladies diverses. Quand le tempéra- 2
ment du foie est trop chaud, il torréfie les humeurs qui se trouvaient

10. δέ om. BFP.

κατοπλῶσι τούς τε προϋπάρχοντας ἐν αὐτῷ χυμούς· αἱ δὲ ψυχραὶ
παχὺν μὲν καὶ δύσρουν καὶ δυσκίνητον ἐργάζονται τὸν ἤδη περιε-
χόμενον ἐν αὐτῷ, φλεγματικὸν δὲ καὶ ὠμὸν καὶ ἡμίπεπτον τὸν ἀνα-
3 φερόμενον. Καὶ ἡ μὲν ξηρὰ δυσκρασία ξηροτέρους καὶ παχυτέρους
ἐργάζεται τοὺς χυμούς· ἡ δὲ ὑγρὰ λεπτομερεστέρους καὶ ὑδατωδε-
4 στέρους. Θερμῆς μὲν οὖν οὔσης τῆς δυσκρασίας, συντήξεις γίνονται
πρῶτον μὲν τῶν χυμῶν, εἶτα δὲ καὶ τῆς σαρκὸς αὐτῆς τοῦ ἥπατος,
καὶ κενοῦται διὰ γαστρὸς δυσώδης πάνυ χολὴ παχεῖα κατακορὴς τῇ
χρόᾳ· ψυχρᾶς δὲ τῆς δυσκρασίας οὔσης, οὔτε συνεχεῖς ἐκκρίσεις,
οὔτε πολλαὶ γίνονται, χρονίζει δὲ τὸ πάθος καὶ διὰ ἡμερῶν τινων
καταῤῥήσσει ἡ γαστὴρ αὐτοῖς ἀθροώτερον· ἡ δὲ ἰδέα τῶν ἐκκρινο-
μένων ὡς αἵματος σεσηπότος ἐστὶν, ὥσπερ τις ἰλὺς αἵματος παχέος.
5 Ἐπὶ δὲ τῆς ξηροτέρας δυσκρασίας ξηρότερα τὰ ἐκκρινόμενα, καὶ
ἐπὶ τῆς ὑγροτέρας ὑγρότερα.

dans ce viscère; quand il est trop froid, il épaissit les humeurs qui
y existent et rend leur écoulement et leur transport difficiles, tandis qu'il
laisse celles qui remontent au foie dans un état de crudité et de demi-
3 maturité, et qu'il les convertit en pituite. Le tempérament trop sec du
foie rend les humeurs de ce viscère plus sèches et plus épaisses qu'elles
ne l'étaient, et le tempérament trop humide les rend plus ténues et plus
4 aqueuses. Quand le tempérament du foie pèche par le chaud, il survient
de la colliquation, qui s'attaque d'abord aux humeurs et ensuite à la
chair même de ce viscère; alors les malades évacuent des selles com-
posées de bile très-épaisse, qui exhale une mauvaise odeur et présente
une couleur très-foncée; si le tempérament pèche par le froid, les selles
ne sont ni fréquentes ni copieuses, mais la maladie qui résulte de ce
tempérament est chronique, et les malades ont, à quelques jours d'inter-
valle, des excrétions alvines violentes qui surviennent assez subitement;
pour l'apparence, les matières qu'ils rejettent ressemblent à du sang
5 pourri; c'est, pour ainsi dire, la boue d'un sang épais. Un tempérament
trop sec du foie augmente la sécheresse des matières excrétées, et un
tempérament trop humide augmente leur liquidité.

6. οὖν om. BFP. — 14. ὑγρότητος ὑγρότης BP.

κʹ. Περὶ ἥπατος σκίῤῥου. Ἐκ τῶν Γαληνοῦ.

Ἀρχόμενον μὲν ἥπατος σκίῤῥον ἰασάμεθα πολλάκις, ἐκταθέντα 1
δὲ εἰς πλείους ἡμέρας, οὔτε αὐτὸς ἠδυνήθην, οὔτε ἄλλον τινὰ εἶδον
ἰάσασθαι δυνηθέντα. Πᾶσι μὲν οὖν τοῖς οὕτω παθοῦσιν ὕδερος ἕπε- 2
ται· διαφθείρονται δὲ οἱ πλείους ἐν χρόνῳ μακροτέρῳ. Ἐπιτείνειν 3
δὲ χρὴ τὰ κατὰ τὴν θεραπείαν τῆς φλεγμονῆς αὐτοῦ τῇ μίξει τῶν
μαλακτικῶν· ἦν δὲ ἐκεῖνα τὰ διὰ ἀψινθίου κόμης καὶ νάρδων ἀμφο-
τέρων, ἔτι δὲ κρόκου καὶ οἰνάνθης, καὶ μύρου τοῦ διὰ νάρδου στά-
χυος καὶ μαστιχίνου καὶ σχινίνου. Τούτοις οὖν ἀμμωνιακὸν καὶ 4
βδέλλιον, οἵ τε μυελοὶ καὶ τὰ στέατα μιγνύμενα τὸν γεννώμενον
σκίῤῥον ἐν ἥπατι ἰάσαντο μετὰ τῆς προσηκούσης διαίτης καὶ τῶν
πινομένων φαρμάκων σκοπὸν ἐχόντων ἐκφράξαι καὶ διαῤῥύψαι τὸ

20. DU SQUIRRE DU FOIE. — TIRÉ DE GALIEN.

J'ai guéri souvent un *squirre* commençant du foie; mais, quand 1
cette maladie existait depuis plusieurs jours, il m'a été impossible d'en
triompher, et je ne connais aucun autre médecin qui ait été plus heu-
reux. Tous les malades qui ont cette affection sont pris d'hydropisie, et 2
la plupart meurent après un temps assez long. On augmente l'intensité 3
des médicaments qu'on emploie dans le traitement de l'inflammation du
foie, en y ajoutant des substances ramollissantes; or ces médicaments
ont pour ingrédients principaux les feuilles d'absinthe, les deux espèces
de nard, et, de plus, le safran et les fleurs de vigne sauvage, ainsi que
l'huile parfumée à l'épi de nard, et celles de mastic et de lentisque. Ces 4
médicaments peuvent suffire à guérir le *squirre* du foie qui est encore
en voie de formation, pourvu qu'on y ajoute de la gomme ammoniaque,
du bdellium, ou les diverses espèces de moelle et de graisse; toutefois
j'ai combiné l'emploi de ces médicaments avec celui d'un régime con-
venable et des potions qui ont pour but de désobstruer et de nettoyer

Ch. 20; tit. Ἐκ τῶν Γαλ. Vers. antiq.; om. Codd. — 5. ταῖς φλεγμοναῖς BFP. — Ib. τὴν μίξιν Codd. — 8. καὶ σχιν. om. BP. — 9. γενόμενον ABP.

σπλάγχνον· ἔσ7ι δὲ ϖάντα ταῦτα καὶ τῶν ἐν νεφροῖς λίθων θρυ-
π7ικά· μιγνύναι δὲ χρὴ τοῖς τοιούτοις καὶ τῶν οὐρητικῶν τι.

κα'. Περὶ καχεξίας. Ἐκ τῶν Φιλουμένου.

1 Τὴν ἀρχὴν τῶν ὑδρωπικῶν ϖαθῶν καχεξίαν καλεῖν εἰθίσμεθα·
θεραπεύειν δὲ αὐτὴν χρὴ φλεβοτομοῦντας μεμερισμένως, ἄχρι τρί-
2 της καὶ τετάρτης ἡμέρας ϖοιοῦντας τὴν ἐπαφαίρεσιν. Ἔσ7ω δὲ τὸ
ϖᾶν ϖλῆθος μήτε τριῶν κοτυλῶν ϖλεῖον, μήτε δυοῖν ἔλατ7ον ἐπὶ ὧν
ἢ αἱμοῤῥοΐδος ἀποκοπείσης ἢ καταμηνίου καθάρσεως ἡ διάθεσις συν-
έσ7η· ἐπὶ γὰρ τῶν διὰ ἑτέρας ϖροφάσεις ἐμπεσόντων εἰς τὸ ϖάθος
σπανίως φλεβοτομητέον τῆς δυνάμεως ϖάνυ ϖροτρεπούσης· ϖρό τε
τοῦ φλεβοτομῆσαι ϖάντας τοὺς κατασχεθέντας τῷ ϖάθει τούτῳ
3 καθαρτέον τῇ διὰ τῆς κολοκυνθίδος ἱερᾷ. Ἡ δὲ δίαιτα ἔσ7ω λεπ7ὴ καὶ
4 ξηραίνουσα. Καὶ χρῆσις ϖαραλαμβανέσθω αὐτοφυῶν ὑδάτων σ7υ-

un viscère quelconque; toutes ces potions ont aussi la propriété de briser les calculs qui existent dans les reins; on ajoutera aussi à ces potions quelque ingrédient qui pousse aux urines.

21. DE LA MAUVAISE COMPLEXION. — TIRÉ DE PHILUMÈNE.

1 Nous avons l'habitude d'appeler *mauvaise complexion* le commencement des maladies hydropiques; il faut traiter cette maladie par de petites saignées répétées, dont on continuera l'emploi jusqu'au troisième
2 et au quatrième jour. La quantité totale du sang évacué ne dépassera pas trois cotyles et ne restera pas en deçà de deux dans les cas où la maladie a tiré son origine d'une rétention des hémorroïdes ou des règles; car, chez les malades qui ont été pris de cette affection à propos d'autres causes, on doit saigner rarement, et quand l'état des forces le permet complétement; au lieu de saigner, on purgera avec le purgatif sacré à la coloquinte tous ceux qui sont en proie à la mauvaise complexion.
3-4 Le régime sera ténu et desséchant. On aura aussi recours au traitement par les eaux minérales alumineuses, ou plutôt à l'emploi des eaux alca-

CH. 21; tit. Ἐκ τῶν Φιλ. Vers. antiq.; om. Codd. — 6. δυσίν BFP. — 7. ἢ... καθάρσεως Paul.; om. Codd. — 9. σπανίως ex Vers. antiq. (Cod. 626) qui habet *rara*; ϖάντως Codd. — 10. φλεβοτόμου BFP.

πτηριωδῶν καὶ νιτρωδῶν μᾶλλον, εἶτα θειωδῶν· τὸ δὲ ἄλλο λουτρὸν σπανίως παραλαμβανέσθω. Θαυμασΐως δὲ ὀνίνησιν αὐτοὺς καὶ προ- 5 ποτισμὸς ἐνδελεχὴς ἀψινθίου καὶ κοτΐαβισμοὶ καὶ δρώπακες.

κβ'. Περὶ ὑδέρων.

Γίνεται μὲν ὕδερος ἢ διὰ ψῦξιν ὑπερβάλλουσαν τοῦ ἥπατος, ἢ 1 διὰ πλῆθος αἵματος ψυχροῦ κατὰ ὅλον τὸν ὄγκον πλεονάσαντος, ἢ τινων ἑτέρων μερῶν ἰσχυρῶς κατεψυγμένων καὶ συνδιαθεῖναι τὸ ἧπαρ ὁμοίως ἑαυτοῖς δυναμένων· ἄνευ γὰρ τοῦ καταψυγῆναι τὸ ἧπαρ οὐδαμῶς ἂν ὕδρωψ συσΐαίη· συνδιατίθεται δὲ τὸ ἧπαρ σπληνὶ καταψυγέντι καὶ κοιλίᾳ καὶ ἐντέροις, καὶ μάλισΐα τοῖς κατὰ νῆσΐιν, πνεύμονί τε καὶ νεφροῖς καὶ διαφράγματι. Συνίσΐαται δὲ καὶ διὰ 2 ἄμετρον αἱμοῤῥοΐδος κένωσιν καὶ ῥοῦν γυναικεῖον καὶ καταμηνίων ἐπίσχεσιν. Διαφοραὶ δέ εἰσι τῶν ὑδρώπων τρεῖς· ὁ μὲν γὰρ ἀσκίτης 3

lines, et plus tard à celui des eaux sulfureuses; on usera des bains ordinaires avec discrétion. Ce sont encore des remèdes merveilleux pour 5 ces malades que de boire constamment de l'absinthe avant le repas, de jouer au cottabus, et d'appliquer des emplâtres de poix.

22. DES DIVERSES ESPÈCES D'HYDROPISIE.

L'hydropisie provient ou d'un refroidissement excessif du foie, ou 1 d'un surcroît de sang froid qui abonde dans tout le corps, ou de ce que certaines autres parties ont éprouvé un refroidissement intense et ont pu mettre le foie dans le même état; car jamais il ne se formera d'hydropisie, à moins que le foie ne soit refroidi; mais ce viscère participe à un refroidissement de la rate, de l'estomac, des intestins, et surtout du jejunum, du poumon, des reins et du diaphragme. L'hydropisie peut 2 provenir aussi d'une évacuation démesurée par les hémorroïdes, d'un flux utérin ou d'une rétention des règles. Il y a trois espèces d'hydro- 3 pisie : la première s'appelle *hydropisie ascite;* dans cette maladie, la ré-

Ch. 22; l. 5. αἵματος *ad Eun.*; om. Codd. — Ib. πλεονάσαντα ABP. — 8. συσΐαίη *ad Eun.*; συνέσΐη Codd. — Ib. σπληνί om. BP; σπληνός Gal. — 12. Διαφοραί om. Gal. — Ib. δὲ τῶν ὑδρώπων (om. εἰσι) BP; τούτων δέ A.

καλεῖται, κατὰ ὃν ὑγροῦ λεπ7οῦ πληροῦται τὰ χωρία τὰ κάτω τοῦ θώρακος· ἄλλος δέ ἐσ7ί τις τυμπανίας, πνεύματος τὰ προειρημένα χωρία μεσ7ὰ ποιῶν· ὁ δὲ τρίτος ὑποσαρκίδιος μὲν ὀνομάζεται· πᾶν δὲ διοιδίσκεται τὸ σῶμα κατὰ αὐτὸν νεκρῷ παραπλήσιον γενόμενον.
4 Ἔσ7ι δὲ ἡ θεραπεία τῶν ὑδερικῶν οὐ παντάπασιν εὔκολος καὶ χρῄζουσα τῆς τοῦ τεχνίτου παρουσίας· λεχθήσεται δὲ ὅμως τινὰ πρὸς
5 ἴασιν ἐπιτήδεια τῶν δυναμένων καὶ ὑπὸ σοῦ πράτ7εσθαι. Βόλϐιτον βοὸς ἀγελαίας ξηρὸν ἀκριϐῶς λειώσας ἕψε ἐν ὀξυκράτῳ καθάπερ τὴν ὠμὴν λύσιν, καὶ θείου τέταρτον μέρος προσεμπλάσας ὅλῳ τῷ τῆς γασ7ρὸς ἐπίϐαλλε κύτει· ἢ σπυράθους αἰγὸς ἐν οὔρῳ παιδὸς ἢ
6 αἰγὸς γλοιοῦ ποιῶν πάχος κατάπλατ7ε. Διὰ γασ7ρὸς ἄκρως αὐτοὺς
7 καθαίρει. Δίδου δὲ καὶ πίνειν καθέψων τὴν ῥίζαν τῆς καλαμίνθης, ἢ σελίνου, ἢ ἄρου ῥίζης φλοιὸν ἐν οἴνῳ· ἢ σίκυον ἄγριον οἴνῳ

gion placée au-dessous de la poitrine est remplie d'un liquide ténu; il y a une autre espèce d'hydropisie nommée *tympanite*, qui remplit la région susdite de gaz; la troisième espèce d'hydropisie porte le nom d'*hydropisie sous la chair* (*anasarque*); dans cette espèce, tout le corps
4 est tuméfié et ressemble à un cadavre. Le traitement des hydropiques n'est pas du tout facile et réclame l'intervention d'un homme de l'art; cependant j'énumérerai quelques moyens propres à les guérir parmi
5 ceux que vous pouvez également mettre en usage. Triturez avec soin des excréments d'une vache qui vit en troupeau, faites-les bouillir dans du vinaigre miellé comme on le pratique pour les cataplasmes généralement usités, incorporez dans cette masse le quart de son poids de soufre, et appliquez le médicament sur toute l'étendue du ventre, ou faites, avec de la fiente de chèvre et de l'urine d'enfant ou du même animal, une préparation de la consistance de la crasse des baignoires, et
6 appliquez-la en cataplasme. Ce remède purge efficacement les hydro-
7 piques par les selles. Donnez aussi à boire de la racine de *calaminthe* ou de céleri, ou de l'écorce de racine de gouet, bouillies dans du vin; ou encore macérez pendant trois jours un concombre sauvage dans du vin

4. γινόμενον BFP. — 7. καί om. BP. *Eupor.* — Ib. κύσ7ει BP. — Ib. ἢ om. — 10. ἐπίϐαλε BP; κατάπλασσε Gal. BFP.

ἐναποβρέξας αὐστηρῷ ἡμέραις τρισὶ δίδου κύαθον ἕνα προστιθεὶς κατὰ βραχὺ ἕως κυάθων τριῶν· ἢ λεπίδος ∠α', ἄρτου τῷ ἐντὸς ἀναλαβὼν καταπότια ποιῶν δίδου. Σφοδρῶς ὕδωρ ἄγει. — Ἐπίθεμα· 8-9
Τήλεως ℥ δ', κριθίνου ἀλεύρου ℥ γ', κόπρου περιστερᾶς ℥ δ', ῥητίνης φρυκτῆς λα', κηροῦ λα', ἀξουγγίας παλαιᾶς λβ'. Τὰ τηκτὰ 10
τήξας κατάχει τῶν ἄλλων προλελειωμένων ἐν ὄξει καὶ χρῶ.

κγ'. Περὶ σπληνός.

Φλεγμήνας ὁ σπλὴν τάχιστα σκιῤῥοῦται τοῦ ἐν ταῖς φλεψὶν 1
αἵματος σφηνωθέντος διὰ παχύτητα· χρεία τοίνυν λεπτυνόντων φαρμάκων ἄνευ τοῦ σαφῶς θερμαίνειν, οἷς βραχὺ παραπλέκειν δεῖ τι τῶν στυφόντων, ἵνα τονούμενον τὸ μόριον σώζῃ τὴν οἰκείαν ἐνέργειαν· τοιοῦτον δέ ἐστιν αὐτοφυῶς ἁλὸς ἄνθος ἰώμενον σκίῤῥους

légèrement âpre, et donnez-en un cyathe; puis augmentez peu à peu la dose de ce médicament, jusqu'à ce que vous arriviez à trois cyathes; ou encore incorporez une drachme de battitures de cuivre dans de la mie de pain et faites-en des pilules, que vous administrerez au malade. Ce remède expulse vigoureusement les urines. — *Topique :* Fenugrec 8-9
quatre onces, farine d'orge trois onces, excréments de pigeon quatre onces, résine torréfiée une livre, cire une livre, vieille graisse de porc deux livres. Faites fondre les substances qui en sont susceptibles, ver- 10
sez-les sur les autres ingrédients préalablement triturés avec du vinaigre, et employez ce mélange.

23. DE LA RATE.

Quand la rate est enflammée, elle est très-facilement prise de *squirre,* 1
attendu que le sang contenu dans les veines y demeure enclavé à cause de son épaisseur; cette affection réclame des médicaments qui atténuent sans échauffer manifestement, et auxquels il faut ajouter une petite quantité de substances astringentes, afin qu'en renforçant la partie on lui conserve son activité propre; la nature nous a fourni un médicament qui réunit toutes ces propriétés dans les fleurs de sel, qui guérissent

2. τῷ ex em.; τό Codd. — 5. κηροῦ om. BP. — 6. κατέχ. BP. — Ch. 23; l. 10. τι om. BFP. — 11. τοιοῦτον *ad Eun.;* τοῦτο Codd. — Ib. ἰώμενος AP.

2 σπληνῶν ἐπιτιθέμενον ἐν κύσ7ει. Χρησ7έον δὲ ἐπὶ αὐτοῦ καὶ τοῖς
3 ἰσχυροτάτοις Φαρμάκοις· ἀνέχεται γὰρ αὐτῶν ἀλύπως. Καππάρεως
τῆς ῥίζης ὁ Φλοιὸς οὐδενὸς ἔλατ7ον ὠφελεῖ σκιῤῥουμένους σπλῆνας ἔξωθέν τε ἐπιτιθέμενος καὶ πινόμενος ἐν ὄξει καὶ ὀξυμέλιτι ἢ λεῖος, ξηρὸς κοπ7όμενος· κενοῖ γὰρ οὕτω ποθεὶς παχεῖς καὶ γλίσχρους χυμοὺς, ἔσ7ιν ὅτε δὲ καὶ αἱματώδεις οὐ διὰ οὔρων μόνον, ἀλλὰ καὶ διὰ γασ7ρὸς, καὶ τοῦ μικροῦ κενταυρίου ὁ χυλὸς ἔξωθέν τε ἐπιτιθέμενος καὶ πινόμενος, κυκλάμινος καὶ πρόσφατος ἐπιπλατ7ομένη καὶ ξηρὰ, λευκοΐων αἱ ῥίζαι μετὰ ὄξους, ἄκορον, ἀμμωνιακὸν, κόπρος αἰγὸς καταπλατ7ομένη διὰ ὀξυκράτου μετὰ κριθίνων ἀλεύρων, ἀμπέλου λευκῆς ἡ ῥίζα πινομένη τε καὶ ἔξωθεν ἐπιτιθεμένη μετὰ σύκων, πικρῶν θέρμων ἀφέψημα μετὰ πηγάνου καὶ πεπέρεως πινόμενον,

2 les *squirres* de la rate, si on les applique dans une vessie. Sur ce viscère, on appliquera aussi les médicaments les plus actifs; car il supporte leur
3 emploi sans en être péniblement affecté. L'écorce de racine de câprier est plus profitable qu'aucun autre médicament à la rate affectée de *squirre*, qu'on l'applique à l'extérieur, qu'on la donne à boire dans du vinaigre simple ou du vinaigre miellé, ou qu'on la pile quand elle est sèche pour la réduire en poudre impalpable; si on prend comme boisson cette dernière préparation, elle évacue les humeurs épaisses et visqueuses, et quelquefois même les humeurs sanguinolentes, non-seulement par les urines, mais aussi par les selles; le suc de petite centaurée, appliqué à l'extérieur ou pris sous forme de boisson, un cataplasme de pain de cochon soit frais, soit desséché, des racines de giroflée combinées au vinaigre, le faux acore, la gomme ammoniaque, un cataplasme de fiente de chèvre et de farine d'orge préparé avec de l'eau vinaigrée, la racine de couleuvrée blanche, qu'on la prenne sous forme de boisson ou qu'on l'applique à l'extérieur avec des figues, une décoction de lupins amers prise à l'intérieur avec de la rue et du poivre, un cataplasme de farine de ces mêmes lupins, conviennent encore pour

2. τοῖς ἰσχυροτέροις BP. — 3. οὐδενός *ad Eun.*; οὐδέν Codd. — 4. ἐν ὄξει *ad Eun.*; om. Codd. — Ib. καὶ ὀξυμ. Gal.; om. Codd. — Ib. ἢ Gal.; om. Codd. — 4-5. λεῖος..... κοπ7όμενος *ad Eun.*; om. Codd. — 10-11. ἄμπελος λευκή A; om. BP. — 11. ἡ ῥ. om. ABP. — Ib. πινομ. τε om. BP.

τὸ δὲ ἄλευρον αὐτῶν καταπλαττόμενον. Σιδήρου διαπύρου πολλάκις 4
ἐναποσβεσθέντος ὕδατι πυρέσσουσι μὲν κατὰ ἑαυτὸ δίδου πίνειν τὸ
ὕδωρ, ἀπυρέτοις δὲ μετὰ οἴνου. Κατάπλασσε δὲ τέφρᾳ ἐκ χαλκείου 5
μετὰ ὄξους, ἢ καππάρει ἐν ὄξει βεβρεγμένῃ λείᾳ ἀνειλημμένῃ κηρωτῇ κυπρίνῃ· ἢ τρύγα ὄξους δριμέος ἐπιτίθει. — Κατάπλασμα· 6
Τήλεως Γο δ', κριθίνων ἀλεύρων Γο γ', καρδαμώμου Γο α', σύκων
λιπαρῶν λα', περιστερεῶνος βοτάνης Γο α'. Ἀποβρέξας τὰ σῦκα 7
ὄξει δριμυτάτῳ, καὶ εὐτόνως κόψας ἐν ὅλμῳ ἐπίβαλλε τὰ λοιπὰ
καὶ ἑνώσας χρῶ.

κδ'. Περὶ τῶν ἐν νεφροῖς καὶ κύστει παθῶν. Ἐκ τῶν Γαληνοῦ.

Τὸ ὀρῶδες περίττωμα τῷ λεπτοτάτῳ αἵματι κατὰ τὰς φλέβας 1
ἀναμεμιγμένον ἕλκειν εἰς ἑαυτοὺς οἱ νεφροὶ πεφύκασιν. Ἐπειδὰν 2
οὖν οἱ πόροι, δι' ὧν ἕλκεται τοῦτο, πλέον τοῦ προσήκοντος εὐρυνθῶσι, συνδιηθεῖσθαί τι τῷ λεπτῷ καὶ τῆς παχυτέρας ὕλης εἰκὸς,

la rate. Donnez à boire de l'eau dans laquelle on a éteint à plusieurs re- 4
prises un fer incandescent, administrez-la seule aux malades qui ont de
la fièvre, et avec du vin à ceux qui n'en ont pas. Appliquez un cataplasme 5
ou de cendres de forge avec du vinaigre, ou de câpres macérées dans du vinaigre pour les réduire ensuite en poudre impalpable et les incorporer dans du cérat à l'huile à l'alcanna; ou encore appliquez de la lie
de vinaigre âcre. — *Cataplasme :* Fenugrec quatre onces, farine d'orge 6
trois onces, cardamome une once, figues grasses une livre, herbe dite
verveine une once. Macérez les figues dans du vinaigre très-âcre, pilez- 7
les vigoureusement dans un mortier, ajoutez-les aux autres ingrédients, faites-en une seule masse et appliquez le cataplasme.

24. DES MALADIES DES REINS ET DE LA VESSIE. — TIRÉ DE GALIEN.

Les reins, par leur nature, attirent à eux les résidus séreux, qui, 1
dans les veines, se sont mêlés à la partie la plus ténue du sang. Lors 2
donc que les conduits à travers lesquels ces liquides sont attirés se sont élargis plus qu'il ne le fallait, il en résulte qu'une partie des matériaux plus épais passe avec ces liquides ténus; puis, si alors les reins ont un

CH. 24; tit. Ἐκ τῶν Γαλ. Vers antiq.; om. Codd. — 13. τε BP.

εἶτα ἐὰν τύχωσι πυρωδεσΊέρας τε καὶ δριμυτέρας οἱ νεφροὶ κράσεως,
ἀναγκαῖόν ἐσΊι τὴν παχυτέραν ὕλην θερμαινομένην τε καὶ ξηραι-
νομένην εἰς ἰδέαν ψάμμων τε καὶ πωροειδῶν λίθων συνίσΊασθαι.
3 Τοῖς θρύπΊουσιν οὖν καὶ τέμνουσι χρῆσθαι δεῖ φαρμάκοις ἄνευ τοῦ
θερμαίνειν ἐπιφανῶς· ἡ γὰρ πλείων θερμότης συνίσΊησι μᾶλλον
ξηραίνουσα· τοιαῦτα δέ ἐσΊιν αἵ τε τῶν βασιλικῶν ἀσπαράγων
ῥίζαι, καὶ αἱ τοῦ βάτου, καὶ ἡ ὕαλος ἡ κεκαυμένη, ἀγρώσΊεώς τε ἡ
ῥίζα, καὶ τὸ ἀδίαντον, καὶ τὸ βδέλλιον, καὶ δάφνης τῆς ῥίζης ὁ
φλοιὸς, καὶ ἀλθαίας τὸ σπέρμα, καὶ ἐρεβίνθων οἱ κριοὶ, καὶ μάλισΊα
οἱ μέλανες, κεράσου τε τοῦ δένδρου, καὶ κοκκυμηλέας τὸ κόμμι,
κυπέρου τε ἡ ῥίζα, καὶ παλιούρου ὁ καρπὸς, καὶ τριβόλου ὁ καρπὸς,
4 οἵ τε ἀπὸ τῶν σπόγγων λίθοι, καὶ τὸ διὰ τῆς σκίλλης ὄξος. Μα-
λάχης ἀγρίας ῥίζαν, καὶ πηγάνου ἀγρίου ῥίζαν, καὶ σελίνου ῥίζαν
5 ἕψε μετὰ οἴνου. Τὸ ὑγρὸν ἐκθλίψας δίδου κυάθους δύο καὶ ὕδατος τὸ
6 ἴσον. Οἱ μὲν οὖν ἐν τοῖς νεφροῖς λίθοι συνίσΊασθαι πεφύκασιν ἐπὶ
τῶν παρακμαζόντων, οἱ δὲ ἐν ταῖς κύσΊεσιν ἐπὶ τῶν παίδων. —

tempérament trop brûlant et trop âcre, ces matériaux s'échauffent, se
dessèchent, et s'amassent nécessairement en graviers et en calculs
3 semblables à du tuf. Il faut donc recourir aux médicaments qui brisent
et incisent sans échauffer manifestement, car une chaleur trop forte so-
lidifie plutôt en desséchant; les médicaments suivants appartiennent à
cette classe : les racines des asperges royales et celles de la ronce, le
verre brûlé, la racine de chiendent, le capillaire, le bdellium, l'écorce
de racine de laurier, la graine de guimauve, les pois chiches dits *béliers*,
et surtout ceux qui sont noirs, la gomme de cerisier et de prunier, la
racine de souchet, le fruit de l'argalou, le fruit de la macle, les pierres
4 qu'on retire des éponges et le vinaigre scillitique. Faites bouillir avec
du vin de la racine de mauve *sauvage*, de rue sauvage ou de céleri.
5 Exprimez le liquide de ces médicaments et donnez-en deux cyathes avec
6 une quantité égale d'eau. Les calculs des reins se forment naturel-
lement vers l'âge du déclin, et ceux de la vessie chez les enfants. —

7. αἱ ῥίζαι A. — Ib. καὶ αἱ τοῦ ex em.; ἐν om. BP. — Ib. συνισΊάμενοι BFP. καὶ τοῦ Codd.; αἵ τε τοῦ Gal. — 15. — 16. παιδίων AF.

Κατάπαστον πρὸς λιθιῶντας· Βαλσάμου καρποῦ, λίθου τοῦ ἐν τοῖς 7
σπόγγοις, γλήχωνος ξηρᾶς, μαλάχης ἀγρίας τοῦ σπέρματος ξηροῦ
ἴσα. Κόψας σήσας δίδου κοχλιάριον μετὰ οἴνου κεκραμένου κυά- 8
θων β΄. Ἡ κατὰ τοὺς νεφροὺς φλεγμονὴ καὶ κύστιν ἐξαίρετον ἔχει τὴν 9
θεραπείαν· τὸ γὰρ ὀρῶδες περίττωμα διὰ αὐτῶν ἐκκαθαίρεται, διὰ
ὅ περ εἰ μὲν εἴη δριμὺ καὶ χολῶδες τοῦτο κατὰ πᾶν τὸ σῶμα, τῶν
διουρητικῶν οὐδενὶ χρῆσθαι προσήκει· βλάψει γὰρ τὰ τοιαῦτα τοὺς
δακνώδεις ἐπάγοντα χυμοὺς τοῖς φλεγμαίνουσι μορίοις· εἰ δὲ μηδὲν
τοιοῦτον εἴη, μηδὲ κακόχυμον ὑπάρχοι τὸ σῶμα πᾶν, τοῦ μελι-
κράτου δίδου πίνειν ὑδαρεστέρου· λύει γὰρ τὰς φλεγμονὰς ἀδήκτως
κενοῦν τοὺς ἐσφηνωμένους χυμούς· καὶ γὰρ τέμνει καὶ λεπτύνει καὶ
ἀραιοῖ. Τὰ δὲ ἐπὶ μέλιτος εἰρημένα παραδείγματος ἕνεκα δυνατόν 10
ἐστι μεταφέρειν ἐπὶ πάντα τὰ λεπτύνοντα καὶ τέμνοντα χωρὶς δή-

Médicament dont on saupoudre les boissons et qu'on emploie contre les 7
calculs : Fruit du baumier, pierre qu'on trouve dans les éponges, pou-
particulière, ils ont pris quelque chose de ce genre, ils auront recours au
médicament à la calaminthe, et, à son défaut, au *médicament aux trois espèces
de poivre;* si on n'a sous la main aucune des trois espèces, on mélangera
aux aliments du *poivre blanc lanugineux*, ou bien on en saupoudrera la
boisson. L'oignon et l'ail ne sont pas mauvais non plus pour les vieillards; 10
quand le ventre est relâché, on donne quelquefois de la thériaque. Comme 11
les vieillards, à cause de leur débilité, fabriquent continuellement des su-
perfluités pituiteuses qui s'accumulent, ils ont besoin d'un régime incisif
et atténuant; mais on doit ne pas s'y arrêter longtemps et revenir aussitôt
que possible aux humectants. Parmi tous les fruits d'automne, on préfé- 12
rera les figues vertes, et, en hiver, les figues sèches; je ne défends pas non
plus aux vieillards le lait, s'ils peuvent le bien digérer et s'ils n'ont pas
une affection quelconque du foie. Comme [dans un corps affaibli par l'âge] 13
il se produit des superfluités séreuses et pituiteuses, on provoquera jour-

6. [τε] e Gal.; om. Codd.

14 λεπτῷ τὴν οὔρησιν ἐπὶ ἡμέρᾳ προτρεπέτω. Τὴν γαστέρα δὲ ἐπε-
χομένῳ ὑπάγειν, ἔλαιον διδόντας πρὸ τῶν σιτίων καταῤῥοφᾷν καί
ποτε καὶ κάτωθεν ἐνιέντας· μαλάττει τε γὰρ τὰ περιττώματα καὶ
ὄλισθον ἐμποιεῖ· φεύγειν δὲ τοὺς δριμεῖς κλυστῆρας ὡς ξηραίνον-
15 τας τὸ ἔντερον. Ὑπάγει δὲ καὶ τὰ λάχανα πρὸ τῶν ἄλλων σιτίων
ἐσθιόμενα [ἐν] γαρελαίῳ, καὶ σῦκα καὶ κοκκύμηλα καὶ τὰ ὅμοια
τούτοις προεσθιόμενα· χειμῶνος δὲ ἰσχάδες καὶ ἐλαῖαι ἁλμώδεις,
καὶ ἡψημένα ἢ διαβεβρεγμένα Δαμάσκηνα ξηρὰ [ἐν] μελικράτῳ κα-
16 λὸν ἔχοντι τὸ μέλι καὶ δαψιλές. Οὐ μὴν, ὥσπερ εἰώθασί τινες,
συμβουλεύσαιμι ἂν ἀλόης αὐτῆς λαμβάνειν ἢ τῆς πικρᾶς ἄνευ τινὸς
ἀνάγκης μεγάλης· κἂν γὰρ παρὰ μίαν ἡμέραν ἡ γαστὴρ ἐπὶ αὐ-
τῶν ποιοίη, μηδὲν φαρμακῶδες προσφέρειν· ἐπὶ πλέον δὲ ἐπεχο-
μένης, ἀρκέσει τῇ τρίτῃ διδόναι τῆς λινοζώστεως καὶ τοῦ κνήκου
σὺν πτισάνῃ καὶ τερεβινθίνης καρύου ποντικοῦ μέγεθος· πολλά-
κις δὲ καὶ δύο καὶ τρία· μετὰ γὰρ τοῦ λαπάττειν καλῶς τόν τε
πνεύμονα καὶ τοὺς νεφροὺς καὶ τὰ ἄλλα σπλάγχνα διακαθαίρει.

14 nellement les urines avec le céleri, le miel et le vin blanc. Si le ventre
est resserré, on le relâchera au moyen d'huile prise avant le repas ou ad-
ministrée en lavement; en effet, l'huile amollit les excréments et les rend
coulants; mais on doit éviter les lavements âcres, attendu qu'ils dessè-
15 chent l'intestin. Les légumes verts préparés à l'huile et au garon, les fi-
gues, les prunes et autres fruits du même genre, mangés avant les autres
aliments, sollicitent le ventre; dans l'hiver les figues sèches, les olives
confites dans le sel, les prunes de Damas sèches, cuites ou amollies dans
un hydromel où il entre beaucoup de bon miel produisent le même effet.
16 Je ne conseillerais pas, comme le font volontiers quelques-uns, de donner
aux vieillards de l'aloès en nature ou la *picra*, à moins qu'il n'y ait grande
nécessité; en effet, lors même qu'un vieillard n'irait à la selle que tous
les deux jours, il est inutile de lui faire prendre un purgatif; mais, s'il
reste plus longtemps, le troisième jour, on prescrira la mercuriale et du
carthame avec de la ptisane et de la térébenthine gros comme une noix
de Pont (*noisette*), souvent gros comme deux ou trois; car, outre que le
ventre s'en trouvera relâché, ce médicament purgera aussi le poumon,

6 et 8. [ἐν] e Gal.; om. Codd.

Καλὸν δὲ, καὶ τὸ διὰ τῶν ἰσχάδων τῶν λιπαρῶν καὶ τοῦ κνήκου· 17
ἀφαιρείσθω δὲ ἀμφοτέρων τὰ ἔξωθεν περικείμενα καὶ ὁμοῦ κοπτέσθω· πολλαπλασίων δὲ ἔσται ἡ ἰσχὰς τῷ σταθμῷ τοῦ κνήκου, καὶ
διδόσθω δύο ἢ τριῶν ἰσχάδων μέγεθος. Ἀμείβειν δὲ δεῖ τὴν χρῆσιν 18
τούτων· τοῦ γὰρ ἑνὸς ἡ φύσις ἐν συνηθείᾳ γινομένη καταφρονεῖν
εἴωθε. Χρόνον δὲ πλείονα τῶν νέων ἐπιμενέτωσαν οἱ γέροντες ταῖς 19
κλίναις, ὅπως ἂν πεφθείη καλῶς ὑπὸ τῆς ἀλέας τὰ περιττώματα αὐτῶν.

ιβʹ. Περὶ οἴνου δυνάμεως.

Χρὴ δὲ γινώσκειν τὸν πεφροντικότα τῆς ὑγιείας καὶ περὶ οἴνου 1
δυνάμεως καὶ ἀφροδισίων ὁμοίως· ὁ τοίνυν οἶνος ἀναζωπυρεῖ μὲν τὸ ἐν ἡμῖν θερμὸν, καὶ διὰ τοῦτο αἱ πέψεις ἀμείνους γίνονται καὶ τὸ αἷμα χρηστὸν, τήν τε τροφὴν διάγει πανταχοῦ πόριμος ὤν· διὸ καὶ τοὺς ἐκ νόσων ἰσχνωθέντας εὐτρόφους ἀπεργάζεται· ποιεῖ γὰρ καὶ ὀρεκτικοὺς τροφῶν, καὶ τὸ μὲν φλέγμα λεπτύνει, τὴν δὲ χολὴν διὰ οὔρων ἐκκαθαίρει, καὶ τῇ ψυχῇ δὲ εὐφροσύνην καὶ ἡδονὴν ἐμ-

les reins et les autres viscères. On fait encore un excellent médicament 17
avec des figues grasses desséchées et du carthame; mais on doit enlever l'enveloppe de ces fruits et les piler ensemble, en ayant soin de mettre un poids beaucoup plus fort de figues que de carthame; on donnera du
mélange la grosseur de deux ou trois figues sèches. On doit alterner dans 18
l'usage de ces divers médicaments, car la nature, en s'habituant à un
seul, finit par n'en plus tenir compte. Les vieillards doivent rester au lit 19
plus longtemps que les jeunes gens, afin que les superfluités arrivent par le repos à une coction complète.

12. DES EFFETS DU VIN.

Celui qui a souci de sa santé doit connaître les effets du vin et des 1
plaisirs de l'amour; or le vin ranime en nous la chaleur; en conséquence, il facilite la digestion et produit un sang de bonne qualité; par la vertu pénétrante dont il est doué, il amène l'aliment dans toutes les parties du corps; aussi les personnes que la maladie vient d'amaigrir, le vin les restaure en leur donnant du goût pour les aliments, en atténuant la pituite, en purgeant la bile par les urines, en donnant à l'esprit la gaîté

ποιεῖ καὶ ῥώμην παρέχει· τούτων μὲν οὖν τῶν ἀγαθῶν ὁ μέτρῳ
2 πινόμενος αἴτιος γίνεται· τῶν δὲ ἐναντίων ὁ ἄμετρος. Διὰ τοῦτο
οἱ μεθυσθέντες παρίενταί τε καὶ παρανοοῦσι καὶ καταφορικοὶ γί-
νονται· διὸ φεύγειν χρὴ τὴν εἰς τοσοῦτον ἀμετρίαν τῆς τοῦ οἴνου
3 πόσεως. Διὰ χρόνου δὲ πλείονος ἐπιεικῶς συμφέρει πίνειν· τήν
τε γὰρ διὰ οὔρων κάθαρσιν δαψιλῆ κινεῖ καὶ ἱδρῶτας προχεῖ·
κάλλιον δὲ ἐπὶ τούτοις καὶ ἐμεῖν, μελικράτου προσλαβόντας,
4 ὡς μηδὲ μικρὸν ὑπὸ αὐτοῦ βλαβῆναι. Κωθωνιζόμενος δέ τις τῆς
μὲν ἄλλης τροφῆς μὴ ἄγαν ἐμπιπλάσθω· πίνων δὲ ἐν τῷ μεταξὺ
κράμβην ἐφθὴν ἐσθιέτω· καὶ τραγημάτων γευέσθω, καὶ μᾶλλον τῶν
ἀμυγδαλῶν· ταῦτα γὰρ καὶ τὰς κεφαλαλγίας κουφίζει καὶ τοῖς
5 ἐμοῦσι οὐδαμῶς ἐστι λυπηρά. Κάλλιστον δὲ καὶ τοῦ ἀψινθίου τὸ
ἀπόβρεγμα πρὸ τῶν ποτῶν λαμβάνειν· πάνυ γάρ ἐστιν ἀκραιπά-
6 λωτον. Εἰ δὲ καὶ δάκνοιντό τινες ὑπὸ τοῦ οἴνου, ψυχρὸν ὕδωρ ἐπιῤ-
ῥοφεῖν, τῇ δὲ ὑστεραίᾳ πάλιν τοῦ ἀψινθίου πίνειν· περιπάτοις

et l'enjouement, et en ranimant les forces; pris avec modération, le vin
possède tous ces avantages; pris immodérément, il a les inconvénients
2 opposés. C'est par cette raison que les hommes ivres ne peuvent pas se
soutenir, déraisonnent et tombent dans un profond sommeil; il faut donc
3 éviter l'usage du vin poussé jusqu'à cet excès. Boire à longs traits et
en y mettant le temps est une bonne manière; de cette façon, on aura
une abondante évacuation d'urines et de sueurs; une méthode encore
préférable, c'est, après avoir ainsi bu, de vomir en prenant de l'hy-
4 dromel, afin que le vin ne cause pas la moindre incommodité. Si quel-
qu'un veut boire abondamment, qu'il prenne d'ailleurs peu de nourriture
et qu'entre chaque coup il mange du chou cuit, des gâteaux ou plutôt
des amandes; ces mets allégent la tête et ne causent aucun inconvénient
5 quand on vomit. Ce qu'il y a de mieux encore, c'est, avant de boire, de
prendre une macération d'absinthe; on empêchera ainsi complétement
6 l'ivresse. Si le vin donne parfois des mordications, on boira de l'eau
froide, et le lendemain on reviendra à l'absinthe; les forces se relève-

10. τραγήματα Codd. — 11. κεφαλαλγίας Paul.; σκεας (sic) M; σκεας πλ' (sic) V; *ebrietas* Vers. antiq. Ras. Forsan κραιπάλας.

τε καὶ ἀνατρίψεσι καὶ λουτρῷ καὶ ἐλάττονι τροφῇ χρησαμένους, ἀνακομισθῆναι.

ιγ'. Περὶ ἀφροδισίων.

Τὰ δὲ ἀφροδίσια βλαβερὰ μὲν στήθει καὶ πνεύμονι καὶ κεφαλῇ 1
καὶ νεύροις· τρέπει δὲ τὴν γνώμην ἐπὶ τὸ ἡμέτερον, ὡς μελαγχολίας καὶ μανίας καθιστᾶν, καὶ τῶν ἐρώντων τὴν προθυμίαν ἐλαττοῦν κἂν ἑταίρας μισῶσι. Τοῖς δὲ χρωμένοις μίξεσι φυλάττεσθαι 2
προσήκει πλησμονὰς καὶ μᾶλλον τὰς ἀπὸ τοῦ οἴνου, καὶ ἔνδειαν, τὴν ἐπί τε ἐμετοῖς καὶ ταῖς κάτω καθάρσεσι γενομέναις, καὶ εἴ τινι γαστὴρ αὐτομάτως ῥυῇ· φυλάττεσθαι δὲ καὶ ἀπεψίας καὶ κόπους, καὶ εἴ τι ἄλλο πρὸς μέλλουσαν νόσον ὕποπτον. Ἥκιστα δὲ καὶ 3
ἐν φθινοπώρῳ μίγνυσθαι καὶ ἐν ἄλλῃ τινὶ ὥρᾳ νοσήματος ἐπιδήμια φερούσῃ. Καιρὸς δὲ ἐπιτήδειος μίξεως ὁ μετὰ τροφὴν πρὸ τῶν 4
ὕπνων· καθυπνοῦντι γὰρ εὐθὺς καθίσταται ὁ κόπος· οὗτος δὲ καιρὸς

ront, en outre, par des promenades, des frictions, des bains et une nourriture modérée.

13. DES RAPPORTS SEXUELS.

L'usage des rapports sexuels nuit à la poitrine, au poumon, à la tête 1
et aux *nerfs*, mais l'âme en reçoit un apaisement qui guérit la mélancolie et la folie, et la passion immodérée des amants en est tellement amoindrie, qu'elle se change en répulsion pour les courtisanes. Ceux qui se 2
livrent aux plaisirs vénériens doivent éviter la plénitude, surtout celle du vin, et la vacuité qui est produite soit par les vomitifs, soit par les purgatifs, soit enfin par un flux de ventre spontané; ils éviteront aussi les crudités, la lassitude et toute autre chose qui pourrait faire soupçonner l'invasion d'une maladie. On doit s'abstenir de l'amour dans l'automne 3
et dans toute autre saison où pourrait régner une maladie épidémique. Le moment convenable pour se livrer à la copulation est celui qui suit 4
le repas, avant le sommeil, car le sommeil vient aussitôt réparer les

1. χρησάμενον Codd.

καὶ εἰς παιδοποιΐαν διά τε τὰ ἄλλα καὶ ὅτι ἡ γυνὴ κατακοιμηθεῖσα
5 μᾶλλον κατέχει τὴν γονήν. Ἐπεὶ δὲ ἐξ ἀφροδισίων ἀραιότερόν τε καὶ ψυχρότερον [καὶ ξηρότερον] καὶ ἀσθενέστερον γίνεται τὸ σῶμα, τὰ πυκνοῦντα δηλονότι καὶ θερμαίνοντα καὶ ὑγραίνοντα καὶ ῥωννύντα
6 δεῖ προσάγεσθαι. Τινὲς δὲ σπέρμα πολὺ θερμὸν ἀθροίζοντες, εἶτα ἐπιγινόμενοι πρὸς ἀφροδίσια καὶ ἀποκρίνοντες αὐτὸ, τό τε σῶμα ἀσθενὲς ἔχουσι καὶ τὸν στόμαχον ἔκλυτον, καὶ λεπτύνονταί τε καὶ ὑγραίνονται, καὶ ξηραίνονται, καὶ κοιλοφθαλμιῶσιν· ἀποσχόμενοι δὲ αὖθις διὰ ταῦτα ἀφροδισίων κεφαλήν τε βαροῦνται καὶ ἀσώδεις γίνονται· κἄπειτα εὐθὺς ὀνειρώξαντες πάσχουσι τὰ αὐτά· δεῖ τοίνυν τῶν μὲν πολυσπέρμων μηδὲν προσφέρεσθαι, τῶν δὲ φθειρόντων αὐτὸ καὶ τροφῆς καὶ φαρμάκων λαμβάνειν, καὶ μετὰ λουτρὸν ἀλείφεσθαι τὴν ὀσφὺν ῥοδίνῳ τε ἐλαίῳ ἢ μηλίνῳ καὶ ὀμφακίνῳ· βέλτιον δὲ αὐτὸ παχύτερον ποιοῦντας, χρίειν ὡς ἂν μὴ ἀποῤῥυῇ, κηροῦ

forces; ce moment est également favorable pour engendrer des enfants,
5 car la femme, en se livrant au repos, retient mieux la semence. Mais, comme Vénus rend le corps plus rare, plus froid, plus sec et plus faible, il s'ensuit que nous devons employer des moyens qui peuvent lui donner
6 de la densité, de la chaleur, de l'humidité et de la force. Certaines personnes ont en abondance une semence très-chaude, et, lorsqu'ils l'ont éjaculée, leur corps devient faible, l'orifice de l'estomac s'allonge; ils sont amaigris, épuisés, desséchés, et leurs yeux deviennent caves; puis, lorsqu'ils s'abstiennent, à cause de ces inconvénients, de l'acte vénérien, ils sont pris de lourdeur dans la tête et de dégoût pour les aliments par suite de réplétion; si parfois ils ont, en dormant, des rêves érotiques, ils éprouvent les mêmes accidents; en conséquence, on ne leur donnera aucun aliment ou médicament qui pourrait favoriser la production de la semence, mais plutôt ceux qui la tarissent; de plus, on prescrira, après le bain, des frictions sur les reins avec l'huile aux roses, aux pommes ou au verjus; mais, comme cette huile doit être épaisse, afin qu'elle ne coule pas quand on l'applique, on y ajoutera un peu de cire et quelque

3. [καὶ ξηρότερον] e Gal.; om. Codd.

μιγνύντας τι καὶ χυλοῦ τινος τῶν ψυχόντων. Ποιεῖ δὲ οὕτω κηρ- 7
έλαιον· ἐν θυίᾳ ταῖς χερσὶν ἐπὶ πολὺ μαλάξας, τὸν ψύχοντα χυλὸν
ἐπεγχέας, ἀκριβῶς ἕνωσον ἀναφυράσας ὡς ὅτι πλεῖστον χρόνον.
Ἔστι δὲ ψύχων χυλὸς ὅ τε τοῦ ἀειζώου καὶ ὁ τοῦ στρύχνου, κοτυ- 8
ληδόνος τε καὶ ψυλλίου· κατὰ μὲν οὖν τὸ θέρος οὗτοι, κατὰ δὲ τὰς
ἄλλας ὥρας ἄλλοι τε πολλοὶ, καὶ ὁ τῆς θριδακίνης χυλὸς καὶ τὸ
λινόσπερμον ἑψηθὲν ἐν ὕδατι, ψύχοντα ποιεῖ χυλόν. Καὶ λεπὶς δὲ 9
μολιβδίνη ταῖς ψόαις ὑποτιθεμένη κωλύει τοὺς ὀνειρωγμούς· καὶ
βοτάναι δὲ ὑποστρωννύμεναι τῶν ψυχουσῶν μετὰ πηγάνου καὶ τῶν
ἄκρων τοῦ ἄγνου τῶν ἁπαλῶν τὸ αὐτὸ ποιοῦσι· καὶ σπέρμα τοῦ
ἄγνου καὶ τοῦ πηγάνου ἐσθιόμενα. Φυλάττεσθαι δὲ δεῖ πάνυ σφο- 10
δρῶς ψύχειν τὰς ψόας, ὅπως μὴ βλαβεῖεν οἱ νεφροί.

suc qui ait la vertu de refroidir. Faites ainsi le *cerelæon* (composé d'huile 7
et de cire) : malaxez le plus possible [le mélange de cire et d'huile],
puis versez le suc réfrigérant et amalgamez soigneusement en remuant
aussi longtemps que possible. Le suc réfrigérant se tire de la joubarbe, 8
de la morelle, du cotylédon et du pulicaire; ces sucs conviennent pour
l'été, mais, dans les autres saisons, on a recours à beaucoup d'autres
plantes, telles que la laitue, la graine de lin cuite dans l'eau, lesquelles
donnent un suc refroidissant. Une lame de plomb placée sur les reins 9
délivre des rêves érotiques; on obtient le même effet soit en mettant
sur le lit des herbes réfrigérantes avec de la rue, les cimes tendres du
gattilier, soit en donnant à manger la graine du gattilier et de la rue.
Toutefois il faudra se garder de trop refroidir les lombes, de crainte de 10
nuire aux reins.

Ch. 14. = *Syn.* IV, 41 [1].

Donne *οὔτε δὲ θερμ.* p. 193, 2; om. *καὶ ἀτέραμνα*, p. 193, 7; donne *θερμαίνεται καὶ ψύχεται*, p. 193, 9-10; donne *Τρέπεσθαι μὴ* (l. *μὲν*) *ἀρχόμ.* p. 194, 9; *οἱ δὲ καὶ τεῦτλα*, 195, 9.

1. *μιγνύντας* Paul.; *μιγνύειν* Codd.

[1] Voy. la Préface sur ces références des chapitres parallèles du traité *Ad Eunapium* avec la *Collection médicale* et la *Synopsis*.

ιε'. Περὶ ἀέρων.

1 Καὶ ἀὴρ δὲ ὑγιεινότατός τε καὶ ἄρισΊός ἐσΊιν ὁ καθαρότατος· νο-
σερὸς δὲ καὶ μοχθηρὸς ὁ ἐξ ἀναθυμιάσεως ἐπιθολούμενος λιμνῶν ἢ
2 ἑλῶν ἢ βαράθρου τινὸς δηλητήριον ἀναπέμποντος αὔραν. Μοχθηρὸς
δὲ καὶ ὁ ἔκ τινων ὀχετῶν ἐκκαθαιρόντων τὰς πόλεις θολούμενος
ὁμοίως, καὶ ὁ ἐκ λαχάνων τινῶν ἢ ζώων ἢ κόπρων σηπεδόνων.
3 Οὕτω δὲ καὶ ὅσΊις διὰ ποταμὸν ἢ λίμνην γειτνιῶσαν ὁμιχλώδης
ἐσΊὶν οὐκ ἀγαθὸς, καὶ ὁ ἐν κοίλῳ δὲ χωρίῳ πανταχόθεν ἀπὸ ὀρῶν
περιεχομένῳ, καὶ διὰ τοῦτο μὴ καταπνεομένῳ, μοχθηρός· οἱ μὲν
οὖν οὕτω μοχθηροὶ πᾶσαν ἡλικίαν ὁμοίως βλάπΊουσιν, ὥσπερ ὁ
4 ἄρισΊος ὠφελεῖ. Ἡ δὲ κατὰ ποιότητα, θερμότητα λέγω καὶ ψυχρό-
τητα καὶ ξηρότητα καὶ ὑγρότητα διαφορὰ τῶν ἀέρων οὐχὶ ὁμοίως
ἔχει πρὸς ἅπαντας· τοῖς μὲν γὰρ εὐκράτοις σώμασιν ὁ εὔκρατος ἀὴρ
ὠφέλιμος, τοῖς δὲ δυσκράτοις ὁ τὴν ἐναντίαν ἔχων κρᾶσιν.

15. DE L'AIR.

1 L'air le plus salubre et le meilleur est celui qui est le plus pur; est malsain, au contraire, et pernicieux, celui qui est rendu trouble par les émanations des étangs, des marais ou de quelque gouffre d'où sortent
2 des exhalaisons délétères. Celui-là aussi est mauvais qui est rendu trouble par les cloaques qui reçoivent les immondices des villes, ou par des lé-
3 gumes, des cadavres ou des excréments en décomposition. De même on doit tenir pour mauvais l'air chargé des brouillards que produit le voisinage d'un étang ou d'un fleuve, et celui qui, retenu captif dans un endroit entouré de montagnes de tous côtés, n'est jamais renouvelé par aucun courant; les diverses espèces d'air ainsi corrompu sont donc nui-
4 sibles à tous les âges, de même que l'air pur leur est favorable. Les différences de l'air, qui tiennent à ses qualités diverses, de chaud, de froid, de sécheresse et d'humidité, ne produisent pas le même effet chez tous, pour un corps doué d'un bon tempérament, l'air bien tempéré est salutaire, tandis que l'air qui conviendra à un corps mal tempéré est celui dont le tempérament est opposé à ce corps.

Ch. 15; 4, καί om. M. — 7. εἰρῶν M; ἠρῶν V. Voy. *Syn.* I, 24. — 11. καὶ ξηρότητα καὶ ὑγρότητα om. M. — 12. ἀήρ e Paul.; ἄκρον Codd.

Ch. 16. = *Syn.* I, 27.

Om. *καί*, p. 44, 8; donne *γάρ* pour *δέ* avant *εἰ*, p. 44, 11; om. *δέ* après *Τό*, p. 44, 11; donne *τε καὶ ἐκμαλάσσον, πνεύματα διαχέον*, p. 45, 2-3.

ιζ'. Περὶ τροφῆς δυνάμεως.

Χρὴ δὲ εἴπερ τι ἄλλο καὶ τὰς τῶν τροφῶν δυνάμεις ἐπίστασθαι 1
τὸν τῆς ὑγιείας φροντίζοντα· τὰ μὲν οὖν τῆς λεπτυνούσης δυνάμεως
ἐκφράττει τε τὰς στενὰς διεξόδους καὶ ἀποῤῥίπτει τὰ προσπλαττό-
μενα γλίσχρα, τέμνει τε καὶ λεπτύνει τὰ παχέα· συνάγει δὲ τοῖς
χρονίσασι κατὰ τὴν ἐδωδὴν αὐτῶν ὀῤῥώδη καὶ χολώδη περιττώματα·
κἂν ἔτι μᾶλλον πλεονάσῃ τις, μελαγχολικὸν τὸ αἷμα καθίσταται·
χρὴ οὖν ἀπέχεσθαι τῆς συνεχοῦς αὐτῶν χρήσεως, καὶ μάλιστα τοὺς
χολώδεις τὴν κρᾶσιν· ἁρμόζει γὰρ μόνοις τοῖς τὸ φλέγμα καὶ τὸν
ὠμὸν καὶ γλίσχρον καὶ παχὺν χυμὸν ἠθροικόσι. Τὰ δὲ τῆς παχυ- 2
νούσης τρόφιμα μὲν ἱκανῶς ἐστι κἂν ἔν τε τῇ γαστρὶ καὶ τῷ ἥπατι
πεφθῇ προσηκόντως, εὔχυμον αἷμα γεννᾷ· σπλῆνα δὲ καὶ ἧπαρ
ἐμφράττει. Τούτων δέ τινα μέν ἐστι, παχύχυμα μόνον, ὡς φακή, 3

17. DES QUALITÉS DES ALIMENTS.

Celui qui prend soin de sa santé doit, avant tout, connaître les qualités 1
des aliments; ceux donc qui ont une vertu atténuante ouvrent les conduits étroits, en détachent les matières glutineuses qui y adhèrent, divisent et atténuent celles qui sont épaisses; mais, si on en fait un usage trop prolongé, il se produira des excréments séreux et bilieux; si on persiste encore davantage, il se formera un sang mélancolique; il ne faut donc pas en faire un usage continuel; recommandations qui s'adressent surtout aux personnes d'un tempérament bilieux; un tel régime ne convient qu'aux personnes chez qui se sont accumulées la pituite ou des humeurs crues, visqueuses et épaisses. Les aliments qui ont la vertu de 2
produire des sucs épais nourrissent beaucoup, et, si leur coction se fait convenablement dans l'estomac et dans le foie, ils produisent un sang de bonne qualité; cependant ils forment des obstructions dans la rate et dans le foie. Parmi ces aliments, certains ne produisent que des sucs 3
épais, comme les lentilles; d'autres un suc glutineux, comme la mauve;

τινὰ δὲ γλίσχρα ὡς μαλάχη· τισὶ δὲ ἄμφω συμβέβηκε παχυχύμους
4 τε εἶναι καὶ γλίσχρους ὥσπερ τοῖς ὀστρακοδέρμοις. Ἀσφαλεστέρα
τοίνυν ἐστὶν ἡ λεπτύνουσα δίαιτα πρὸς φυλακὴν ὑγιείας τῆς παχυ-
νούσης μᾶλλον· ὀλιγότροφος δὲ οὖσα τόνον οὐκ ἐντίθησιν οὐδὲ
ῥώμην τοῖς σώμασι· καὶ χρή ποτε καὶ τῶν πολυτρόφων προσφέ-
ρεσθαι μετρίως ἡνίκα τις ἐνδείας ἀντιλαμβάνεται· μάλιστα δὲ ἂν
ἀκινδύνως μεταλαμβάνοιεν αὐτῶν, οἱ γυμνασίοις τε προσέχοντες
5 καὶ [οἱ] καθεύδοντες ἐπὶ ὅσον ἂν βούλοιντο. Πάντες δὲ ὅσοι πρὸ
τῶν σιτίων οὐχ οἷοί τέ εἰσι γυμνάζεσθαι, φευγέτωσαν τὰς παχυ-
χύμους τροφάς· ἀργοὶ δὲ μηδὲ οὗτοι ταῖς τροφαῖς προσιέτωσαν·
μέγιστον γὰρ κακὸν εἰς τὴν τῆς ὑγιείας φυλακὴν ἡ παντελὴς ἀργία
καθέστηκεν, ὥσπερ γε ἡ σύμμετρος κίνησις μέγιστον τῶν ἀγαθῶν.
6 Τὰ δὲ μεταξὺ τῶν παχυνόντων καὶ λεπτυνόντων ἐδέσματα κάλλιστα
πάντων ἐστὶ σύμμετρον αἷμα γεννῶντα κατὰ σύστασιν· κατάλλη-
λος μὲν οὖν ἡ τοιαύτη τοῖς σώμασι τροφὴ ἡμῶν ἐστι· βλαβερὰ δὲ
7 ἡ κακόχυμος, ἣν ἀεὶ χρὴ φεύγειν. Φυλάττεσθαι δὲ καὶ τὴν ποικι-

4 d'autres enfin fournissent l'un et l'autre, comme les testacés. Pour con-
server la santé, un régime atténuant est préférable à un régime incras-
sant; cependant, comme il nourrit peu, il ne donne ni ton ni force au
corps; aussi faut-il recourir quelquefois, mais modérément, aux aliments
incrassants, alors que l'on est pris de besoin; cette substitution se fera
sans danger pour ceux qui prennent de l'exercice et qui peuvent se livrer
5 au sommeil autant qu'ils le veulent. Tous ceux qui ne peuvent s'exercer
avant le repas doivent éviter les aliments d'un suc épais; il en est de même
des personnes qui vivent dans l'oisiveté, car il n'y a rien de plus défa-
vorable à la santé que la complète inaction, de même qu'un exercice
6 modéré est le plus grand des biens. Les mets qui tiennent le milieu entre
les atténuants et les incrassants sont les meilleurs de tous, car ils pro-
duisent un sang d'une juste consistance; ces aliments conviennent donc
à notre corps; mais ceux qui produisent un suc de mauvaise qualité lui
7 sont nuisibles; il faut toujours s'en abstenir. On doit éviter aussi la di-

7. μεταλαμβάνοιεν Paul.; ἀντιλαμβάνοιεν Codd. — Ib. αὐτοῖς Codd. — 8. [οἱ] Paul.; om. Codd. — 13. καὶ λεπτυνόντων om. M.

λίαν τῶν τροφῶν ἄμεινον, μᾶλλον ἐὰν ἐξ ἐναντίων ὦσι δυνάμεων· οὐ γὰρ ϖέττεται τὰ ληφθέντα ϖροσηκόντως.

versité des mets, surtout s'ils sont opposés les uns aux autres par leurs qualités, car il en résulte que ce qu'on mange n'arrive pas à une coction parfaite.

Ch. 18. = *Coll. méd.* III, 2. Cf. *Syn.* IV, 1.

Om. *κάρδαμα*, t. I, p. 193, 1; *μίνθη*, 2; donne *σισυάρια* au lieu de *σισύμβριον*, 2-3; om. *καὶ οὐκέτι... κοινῇ*, p. 193, 4-8; *σία*, 8; donne *ϖλὴν εἰ διὰ μετά* (sic) au lieu de *ϖλὴν εἰ μὴ διὰ μακροῦ*, p. 194, 8-9; om. *εἰ βούλοιο καὶ ἄφθονον*, 10; *τὰ γάρ... εἰσι. Καί*, 12-p. 195, 5; *ἰουλίδος... εἰπεῖν*, p. 195, 8-10; *Μαλακὴ... μαλακή*, 12-p. 196, 1; donne *ἔχεις δέ* au lieu de *Ταῦτα οὖν ἔχεις*, p. 196, 1; om. *καὶ τούτοις..... νοῦν*, 2-3; *καὶ τοῦδε..... ἀπορήσαντα*, 5-6; *ὥστε καὶ..... ψῆττα*, p. 196, 6-p. 197, 5; ajoute *διὰ ὄξους δὲ μᾶλλον ἄμεινον καὶ ὀξυμέλιτος ἐσκευασμένου, ϖροσφέρεσθαι τῶν ἐδεσμάτων τὰ ϖλεῖστα, καὶ ϖροταριχεύειν αὐτῶν ὅσα δυνατόν* après *φυλάσσεσθαι*, p. 198, 1; ajoute *τὰ δὲ βραδυπορώτερα χείρω καὶ μᾶλλον εἰ σκληρὰ τυγχάνοι· ἀλλὰ τούτων μὲν μὴ γεύεσθαι μηδενὸς ϖλὴν τῶν εἰς ἀπόθεσιν ἐπιτηδείων, οἷά ϖερ ἐστὶν ἀπίων τε καὶ μήλων, καὶ σταφυλῶν οὐκ ὀλίγα γένη· τὰ δὲ μαλακώτερα μᾶλλον ἐσθίειν* après *κοιλίας*, 3; om. *τάς..... Καί*, 3-5; *ὡς ἔπος εἰπεῖν*, 10; donne *λεπτὸν γεννᾷ χυμόν* au lieu de *λεπτοῦ..... γεννητικόν*, 10-11; om. *Καὶ μὲν...... ἐστίν*, 13-14.

Ch. 19. = *Coll. méd.* III, 3. Cf. *Syn.* IV, 2.

Om. *καὶ ὁ καλ. τράγος*, p. 199, 1; *ἅπερ*, 3; *τὸ δέ*, 6; *τὸ... ῥυπτικόν*, 7-8; *σησάμου σπέρμα, ἐρησίμου σπέρμα*, 8-9; ajoute *καὶ αἱ* avant *χῆμαι*, p. 200, 1; donne *ὅσα* au lieu de *ἁπλῶς*, 2; donne *ἥπατα* au lieu de *ἧπαρ*, 4; ajoute *κοκύμηλα* après *μύκητες* et om. *ἄρου ῥίζα*, 9; om. *κιτρίου ..... ϖέπειρα*, 10-11.

Ch. 20. = *Coll. méd.* III, 4. Cf. *Syn.* IV, 3.

Om. *τρυγόνων........ τε καί*, p. 201, 5-6, et donne *ϖολλά* au lieu de *μυρία* p. 202, 1.

Ch. 21. = *Coll. méd.* III, 5. Cf. *Syn.* IV, 4.

Donne *γεννῶσι γλίσχρον χυμόν· ἐστὶ δέ* au lieu de *τοιοῦτοι*, p. 202, 9; *κάλεσον* au lieu de *καλλωσόν*, 10, et *ϖαγκρέας* au lieu de *ϖᾶν κρέας*, ibid.

Ch. 22. = *Coll. méd.* III, 6. Cf. *Syn.* IV, 5.

Om. *ὡς... ῥίγεσιν*, p. 203, 1-2; *ὅταν... αὐτῆς*, 3; ajoute *διὸ ϖροταριχεύοντες*,

εἰς χρῆσιν ἄγουσιν αὐτά, après ζώων, 7 ; om. τυροί, 8 ; ajoute καὶ μὴ διαφθαρεῖσα, après ἐπισχεθεῖσα, 9.

Ch. 23. = *Coll. med.* III, 7. Cf. *Syn.* IV, 6.

Om. οὐκ..... Κοιλία, p. 204, 1-2 ; ajoute ἔτι avant ἔντερα, 2.

Ch. 24. = *Coll. med.* III, 8. Cf. *Syn.* IV, 7.

Om. βωλῖται ἀμανῖται, p. 204, 7.

Ch. 25. = *Coll. med.* III, 9. Cf. *Syn.* IV, 8.

Donne προβάτων au lieu de ὄνεια, καμήλεια, ἀλωπ. κυνῶν, p. 204, 10 ; le nom. pluriel au lieu du génit. plur. pour θύννων..... ἀπάντων, p. 205, 2-3 ; donne ὡς σχίνου et om. λέγω, 5 ; om. καὶ βάτου καὶ κυνοσβ., 5-6 ; donne μελαγχολικώτερον, 7 ; πονηρῶν au lieu de μοχθηρῶν, 8 ; ἁπαλοί au lieu de παλαιοί, 9.

Ch. 26. = *Coll. med.* III, 10. Cf. *Syn.* IV, 9.

Donne πικρὸς καὶ λεπτόχυλος au lieu de λεπτὸς καὶ πικρόχ., p. 205, 11.

Ch. 27. = *Coll. med.* III, 11. Cf. *Syn.* IV, 10.

Ch. 28. = *Coll. med.* III, 12. Cf. *Syn.* IV, 11.

Ch. 29. (Ὅσα πολύτροφα) = *Coll. med.* III, 13. Cf. *Syn.* IV, 12.

Donne κάρα au lieu de καρδία, p. 207, 4 ; τρὶς ἑψηθέντες au lieu de τρίσεφθοι γενόμενοι, 7 ; καὶ τὰ ὅμοια au lieu de ὅσα τε..... δίδωσι, 8-9 ; om. ἄλλα, p. 208, 1 ; donne παραπλήσια, καὶ τῶν au lieu de τοιαῦτα. Τῶν, 2 ; om. ἣν καὶ βουβωνιάδα καλοῦσιν, p. 209, 1 ; πάντων τῶν... ἐρυθροὶ καὶ παχεῖς, 5-7 ; ajoute μᾶλλον après στύφοντες, 8.

Ch. 30 (Ὅσα ὀλιγότροφα). = *Coll. med.* III, 14. Cf. *Syn.* IV, 13.

Om. ὡς..... θᾶττον, p. 210, 4-5 ; ὅπως..... εἰσίν, 7 ; λίνου σπέρμα, ὅρμινον, 11 ; ὁ τῶν..... μύρτα, 11-12 ; μιμαίκυλα... ἀλικ., p. 211, 2-3 ; λάπαθον... τρύχνος, 4-5 ; γογγυλίς, 5 ; κάδρ. πύρεθρον, 5-6 ; καὶ ἀμπελόπρασα. 7 ; δὲ..... τρόφιμον, 9-10 ; ὀλιγότροφος, 10.

Ch. 31 (Ὅσα μέσα τῶν ὀλιγοτρόφων καὶ πολυτρ.). = *Coll. med.* III, 14 (suite, depuis Μέσα, κ. τ. ἑ. p. 211, 11). Cf. *Syn.* IV, 13 (suite).

S'arrête au mot σαρκί (σαρκίον dans *Ad Eun.*), p. 212, 4.

Ch. 32. = *Coll. med.* III, 15. Cf. *Syn.* IV, 14.

Om. χείρω..... στρουθ., p. 212, 11-p. 213, 1 ; καὶ μάλιστα..... ταῦτα, p. 213,

13; ajoute *χρὴ τῶν ἰχθύων* après *ποιεῖσθαι*, 13; om. *καὶ μέντοι..... ἐστίν*, p. 214, 13; *κάλλιστον..... πλεῖστον*, p. 215, 3-7; donne *ὁμοίως ταῖς σαρξὶν εὔχυμα* au lieu de *διδόασιν ...... σάρκα*, 10-11; om. *ὁ γάρ..... πεζοῖς*, 12-p. 216, 6; *καὶ μᾶλλον ὁ γλυκύτερος*, p. 216, 4-5; *κιῤῥός*, 5.

Ch. 33. = *Coll. med.* III. 16, Cf. *Syn.* IV, 15.

Om. Τῆς..... *μελαγχολ.*, p. 217, 9; donne *εἰσί* au lieu de *τισὶν ἤ*, 11; om. *ὁμοίως μ. δριμύτητος*, p. 218, 4; *ἧττον..... ζώων*, 12; *τῶν..... ἐσθίειν*, p. 218, 13-p. 219, 1; Τίφαι, p. 219, 1; *ὅτε..... εὔχυμος*, 1-2; *κόκκυγες*, 5; Καὶ..... *πλῆθος*, 7-11; ajoute *περσικαὶ ῥοιαὶ, μέσπιλα κράνια προῦμνα, κέρατα* avant *ὁ τῆς*, p. 220, 1; ajoute *σῦκα δὲ ἧττον τῶν ἄλλων ὡραίων ἐστὶ κακόχυμα καὶ ἰσχάδες τοῖς πλεονάζουσιν ἐν αὐταῖς, οὐ πάνυ χρηστὸν αἷμα γεννῶσιν, ὅθεν αὐταῖς καὶ τὸ τῶν φθειρῶν ἕπεται πλῆθος* après *γίνεται*, p. 220, 4; om. *εἶτα*, puis *καὶ ἀνδρ. καί*, puis *καὶ λάπαθον*, 7; *τε τῶν ἄρων εἰσὶ καί*, et ajoute *εἰσί* après *γογγυλῶν*, 11; om. *ἃς βουνιάδας ὀνομάζουσι*, 11-12; *καὶ ἀμπελ.* p. 221, 1; *θριδακίνη....... κιχώριον*, 3-4; ajoute *καὶ ἀηδεῖς* avant *καὶ αὐστηροί*, 5.

Ch. 34. = *Coll. med.* III, 17. Cf. *Syn.* IV, 16.

Om. *τε καὶ ἀλεκτρυόνος*, p. 222, 1; *Πάντων τῶν*, 10; *παρακμ..... τῆς τῶν*, 11-12; donne *ἧπαρ* au lieu de *ἥδιον*, p. 223, 5.

Ch. 35. = *Coll. med.* III, 18. Cf. *Syn.* IV, 17.

Ajoute *ὀνώδη καὶ ξηρὰν καὶ διὰ τοῦτο δύσπεπτον ἔχουσι τὴν σάρκα*, après *γηράσαντες*, p. 223, 9; om. *σπλάγχνα πάντα*, 10; *ἅπαν αἷμα*, p. 224, 1; *ἔτι*, 3; ajoute *τῆς παλαιᾶς* avant *τρυγόνος*, 4; *δυσπεπτότερα καὶ ἰνωδέστερα τούτων*, après *νήττης* et om. *καὶ πλέον*, 4; donne *ἐθύκης* au lieu d'*αἰθυίας* et om. *ὥς τι... εἰσι φάρμακον*, 6-8; om. *καὶ..... κοιλίαν*, 9; *σάλπαι..... ἀετοί*, mots qui sont remplacés par *γόγγροι*, p. 225, 5-6; om. *ὀπτά*, 6; *ὁ καλούμενος... δυσπεπτ.* 7; *καὶ...... ἄρτοι*, 8; *ὦχροι*, 9; *βίκος*, 10; *ἐρύσιμον*, 11; *βάλανοι*, 11; *καὶ οὖα*, 12; transporte *καὶ σῦκα* (l. 11) après *πεπανθῆναι* et ajoute *τὰ μήπω πέπειρα*, 12; om. *κίτριον..... δριμέων*, p. 226, 1-3; *Δύσπεπτον*, 6.

Ch. 36. = *Coll. med.* III, 19. Cf. *Syn.* IV, 18.

Om. *τὸ ἀκανθώδη... προσήκει*, p. 226, 12-227, 2; *σισάρου..... Τό*, p. 227, 3; ajoute *παγουρ* (sic. *πάγουρος*?) après *σκάνδικι*, 4; *Ὡς... ἀλόη*, 11-12.

Ch. 37. = *Coll. med.* III, 20. Cf. *Syn.* IV, 19.

Om. Ἀρκευθίδες..... *σπέρμα*, p. 228, 1-2; *λάπαθον ὁμοίως*, 3; *ὁμοίως*, 6; *τοῖς δέ..... ἐστι*, 7-8; *καὶ γὰρ..... ἔμετον*, p. 228, 10-p. 229, 1; *ἀλλὰ οὐχ*, p. 229, 2; *Ὡς..... ἀφρόνιτρον*, 5-6.

Ch. 38. = *Coll. med.* III, 22. Cf. *Syn.* IV, 21.

Om. ἡ ῥίζα καὶ τὸ σπέρμα, p. 230, 8; καὶ γάρῳ, 10; ajoute κατὰ τὴν ἕψησιν ἀποθέμενον ἅπαντα τὸν ἀφρόν après μέλι τό et om. ἀπαφρισθέν, 11; om. ὅπως..... εἰσίν, p. 231, 1-2; ἄρακοι, 3.

Ch. 39. = *Coll. med.* III, 23. Cf. *Syn.* IV, 22.

Om. φάσηλοι, ὦχροι, p. 231, 4; donne κύαμοι, λοβοὶ δὲ ἧτῖον τῶν κυάμων, μᾶζα au lieu de Τῶν κυάμων... Ἡ μᾶζα, p. 231, 5-7; om. φυσώδης... Ζύθος, 7-9; οὔτε... ταύτην, p. 232, 7-8; donne ὁμοίως au lieu de φυσῶδές ἐσῖιν, 9.

Ch. 40. = *Coll. med.* III, 24. Cf. *Syn.* IV, 23.

Om. πέπων, p. 232, 10; οἱ καὶ..... ἐναργῶς, p. 233, 1; donne καὶ ἀποῤῥύπῖει καὶ ἐκφράτῖει μάλισῖα διὰ ὄξυμ. au lieu de ἡ γοῦν..... διὰ ὄξυμ. 3-6; σιτίων ἐσθιομένη τεύτλων ὁ χυλὸς ῥύπῖει au lieu de σιτίων. Ὁ ἐν..... λύει, 6-8; om. ὁμοίως..... ῥίζα καί, 9-10; διὸ καὶ..... ἴαμα, 11-12; καὶ ἀμπελόπρασα, 13; ἑψηθέντα..... ἔτι, p. 234, 1-3; ἐπὶ... αὐτῶν, 4-5; ἀρκευθίδες... χυμούς, 6-8; donne δυνάμεις au lieu de διεξόδους et om. αὐτοῦ..... δυνάμεως, 12; donne ἀνάκτησιν au lieu de ἀνάπῖυσιν, p. 235, 9.

Ch. 41. = *Coll. med.* III, 25. Cf. *Syn.* IV, 24.

Om. μὲν..... τὸ δέ, p. 235, 11-p. 236, 1, et donne ὀροῦ au lieu de τούτου, p. 236, 1; om. οὐ... γλυκέων, 6-7; ἐμφραττομένοις..... εἰσίν, 8-11; ταχέως..... θώρακος, 236, 13-p. 237, 1; καὶ γλυκεῖς, p. 237, 1-2; καὶ μᾶλλον οἱ χλωροί, 2.

Ch. 42. = *Coll. med.* III, 26. Cf. *Syn.* IV, 25.

Om. καὶ μᾶλλον... μᾶλλον, p. 238, 1; ἐρύσιμον, βάλανοι, 2.

Ch. 43. = *Coll. med.* III, 27. Cf. *Syn.* IV, 26.

Ajoute πάντα ὅσα κακόχυμα ἐσῖὶν, ὑγρὰ δὲ καὶ ὀλισθηρὰ καὶ ὑπεῖναι ῥᾳδίως δυνάμενα après ὑπελθεῖν, p. 238, 8; donne ληφθέντα au lieu de βρωθέντα, p. 239, 2, et om. αὐτά τε διαφθείρεται, 2-3.

Ch. 44. *Coll. med.* III, 28. Cf. *Syn.* IV, 27.

Ch. 45. = *Coll. med.* III, 29. Cf. *Syn.* IV, 28.

Donne καὶ κοχλίαι au lieu de καλούμενα, p. 240, 4; donne ἥ τε ἄλλα τὰ εἰρημένα au lieu de ἤ τι..... εἶπον, 7-8; om. διὰ..... πίτυρον, p. 241, 5-6; καὶ τῷ... ἔκκρισιν, 9; Ὥσπερ... διαχώρησιν, 241, 12-p. 242, 2; ἀνατροπῆς... ὅσον, p. 242, 5-6; εἴγε... ἄλῶν, 6-8; καὶ τὰ ἄκρεα αὐτῶν, 9; λάπαθον ἀκαλήφη, 10-11; καθαρᾷ... καί, p. 243, 1; διεξέρχεται..... ὁμοίως, 2-4; ἀλλὰ..... ὑπάγει, 5-7; μελικράτῳ,

7; donne *μέσης πώς ἐστι δυνάμεως τῶν τε ὑπαγόντων καὶ ὑπεχόντων τὸ μέλι μόνον* au lieu de *ἐὰν μὲν.....* Καὶ *μόνον αὐτὸ τὸ μέλι*, p. 244, 2-p. 245, 1; donne *ὑπέρχεται*, p. 245, et om. *φθάνει .... ἔντερον*, 2-3; donne *συμβάλλεται ἐπὶ τῇ* au lieu de *συλλαμβάνει τι βραχὺ τῇ*, 4.

Ch. 46. = *Coll. med.* III, 30. Cf. *Syn.* IV, 30.

Om. *ὁ δὲ... α΄*, p. 245, 7-8; *καλοῦσι*, et *μέν*, 8; *ἐπέχει... γαστέρα*, 245, 8-p. 247, 5, et donne à la place *καὶ ἄπιοι ὁμοίως καὶ ῥοιαί* (voy. p. 246, l. 4); donne *ὄξους* au lieu de *ἁλῶν*, p. 348, 7.

Ch. 47. = *Coll. med.* III, 31. Cf. *Syn.* IV, 3.

Om. *ἀρκευθίδες* et *μετρίως*, p. 249, 2; *ἐρύσιμον..... σπέρμα*, 3; *δριμέα καὶ θερμά*, 6-7; *δαῦκοι* et *θερμαίνουσι σαφῶς*, 7; *ἀμπελόπρασον... δριμύτητα*, 8-9; *θερμὸς... διψώδης*, 10.

Ch. 48. = *Coll. med.* III, 32. Cf. *Syn.* IV, 32.

Donne Μῆλα *τὰ στύφοντα καὶ τὰ ὀξέα καὶ τὰ ἄπια, καὶ ἄπιοι δὲ καὶ ῥοιαὶ ὁμοίως αἱ τοιαῦται ψύχουσιν* au lieu de Τὰ *μὲν στύφοντα..... ἔστιν*, p. 250, 8-251, 2; om. *τοῦτο... στύφουσαν ἔχει*, p. 251, 4-8; *διαδυόμενον εἰς βάθος*, p. 252, 2-3.

Ch. 49. = *Coll. med.* III, 23. Cf. *Syn.* IV, 33.

Om. *παραπλησίως... συμβέβηκεν*, p. 252, 5-253, 1; *ξηραίνει*, p. 253, 1; *ἔδεσμα ξηρ. γίνονται*, 3; *ὅσα δὲ ἐν ὕδατι..... ἐστίν*, 5-6; *τὰ δὲ...... ὑγρότερα*, p. 253, 8-254, 1.

Ch. 50. = *Coll. med.* III, 34. Cf. *Syn.* IV, 34.

Ajoute *σούστινα* (à la marge *σούσινα*) avant *κοκκύμηλα* et om. *συκόμορα*, p. 254, 6; *μὴ διαφθ.....ληφθείη*, 6-8; *ὑγραίνει*, 8; *ταύτης.....* Ἀνδράχνη, 8-9; Ὑγροὶ..... *σπέρμα*, p. 254, 10-255, 3.

Ch. 51. = *Coll. med.* III, 21. Cf. *Syn.* IV, 20.

Om. *ὅσα..... ῥίζαι*, 5. 229, 7-10; *λίνου σπέρμα*, 11.

νβ΄. Ὅτι γάλα ὀδόντας βλάπτει.

Γάλα βλάπτει τοὺς ὀδόντας, εἰ συνεχῶς αὐτὸ χρῷτό τις, καὶ τὰ

52. QUE LE LAIT NUIT AUX DENTS.

Le lait, si on en fait un usage trop continu, nuit aux dents et aussi

2 οὖλα. Ταῦτα μὲν πλαδαροῖ, τοὺς ὀδόντας δὲ εὐσήπ7ους τε καὶ ῥᾳδίως βιϐρωσκομένους ἐργάζεται· χρὴ τοίνυν ἐπὶ τῇ τροφῇ τοῦ γάλακτος οἴνῳ κεκραμένῳ διακλύζεσθαι· καὶ βέλτιον δὲ εἰ καὶ μέλι ἐπεμϐάλοι αὐτῷ.

2 aux gencives. Il ramollit les gencives, et il dispose les dents à se carier et à se corroder; il convient donc, après avoir bu du lait, de se rincer la bouche avéc du vin; le mieux est encore de mêler du miel au lait.

ΒΙΒΛΙΟΝ Β'.

[ΠΡΟΟΙΜΙΟΝ.]

Ὅσα μὲν εἰδέναι τέ σε καὶ ποιεῖν δυνατὸν ἦν φυλακῆς ἕνεκα τῆς 1
ὑγιείας εἴρηται· καιρὸς δὲ τάς τε δυνάμεις ἐπελθεῖν τὰς καθόλου
τῶν ἁπλῶν καὶ εὐπορίστων φαρμάκων, καί τισι τῶν παθῶν οἷόν
τε βοηθεῖν ἕκαστον τούτων. Καὶ μετὰ ταῦτα ὥσπερ ἐπὶ τῶν τρο- 2
φῶν, οὕτω καὶ ἐπὶ τῶν ἁπλῶν φαρμάκων πράξομεν, τὰς ὕλας
ἑκάστης δυνάμεώς τε καὶ ἐνεργείας, εἰς ἓν ἀθροίσαντές τε καὶ ἀνα-
γράψαντες· εὐπορεῖν γὰρ ἡμᾶς τῶν ἐπιτηδείων ἰάσεων, ὧν ἂν
ἑκάστοτε δεώμεθα, τοῦτο μάλιστα πάντων ποιεῖν δυνήσεται.

α'. Κατὰ στοιχεῖον.

A

Ἄγνου τὰ φύλλα καὶ τὰ ἄνθη, καὶ ὁ καρπὸς, θερμὰ μέν ἐστι καὶ 1
ξηρὰ τὴν δύναμιν σφοδρῶς, λεπτομερῆ δὲ ἱκανῶς καὶ τὰς ἀφρο-

LIVRE II.

[PRÉAMBULE.]

J'ai dit, Eunape, tout ce que tu pouvais savoir et faire pour la con- 1
servation de la santé; il est temps maintenant d'aborder les propriétés
générales des médicaments simples et faciles à se procurer, et d'indi-
quer pour quelle affection chacun d'eux peut servir de remède (ch. 1).
Après cela, agissant pour les médicaments simples comme pour les ali- 2
ments, je rassemblerai, en outre, et je décrirai la matière et la vertu de
chaque catégorie de médicaments (ch. 2-23, *les réchauffants, les réfrigé-
rants, etc.*); car c'est surtout grâce à cette méthode que nous pourrons
trouver les médications dont nous avons besoin chaque jour.

6. τε om. MV.

δισίους ὁρμὰς ἐπέχει· διόπερ οὐ μόνον ἐσθιόμενα καὶ πινόμενα,
πρὸς ἁγνείαν πεπίσΊευται συντελεῖν, ἀλλὰ καὶ ὑποσΊρωννύμενα·
καὶ πρὸς ἧπαρ καὶ σπλῆνα σκιῤῥούμενά τε καὶ ἐμφραττόμενα, τὸ
2 σπέρμα μᾶλλον ἁρμόττει τοῦ πηγάνου. — Ἀγρώσῖεως ἡ ῥίζα με-
τρίως ἐσῖὶ ψυχρὰ καὶ ξηρὰ, καὶ διὰ τοῦτο κολλητικὴ τῶν ἐναίμων
3 ἑλκῶν. Αὐτὴ δὲ ἡ πόα καταπλαττομένη ψύχει μὲν, οὐκ ἰσχυρῶς·
4 ξηρότητος δὲ καὶ ὑγρότητος ἐν τῷ μέσῳ καθέσῖηκε. Τὸ δὲ ἐν τῇ
ῥίζῃ δακνῶδές τε καὶ λεπῖομερές ἐσῖι μὲν ὀλίγον· εἴωθε δὲ ἐνίοτε
5 καὶ λίθους θρύπῖειν, εἴ τις αὐτὴν ἀφεψήσας πίνοι. — Ἀγαρικὸν
διαφορεῖ, καὶ πάχος τέμνει· διακαθαίρει τε τὰς ἐν τοῖς σπλάγχνοις
ἐμφράξεις, καὶ διὰ τοῦτο καὶ ἰκτεριῶντας ἰᾶται, τοὺς ἐπὶ ἐμφράξει
6 τῶν κατὰ ἧπαρ συνισῖαμένους. Ὀνίνησι δὲ καὶ τοὺς ἐπιληπῖικοὺς
καὶ τὰ ῥίγη τὰ κατὰ περίοδον, ὅσα παχέων ἢ γλίσχρων χυμῶν
7 ἐσῖιν ἔκγονα. — Ἀδίαντον ξηραίνει, λεπτύνει, διαφορεῖ· καὶ γὰρ
ἀλωπεκίας δασύνει καὶ χοιράδας καὶ ἀποσῖήματα διαφορεῖ· καὶ
λίθους θρύπῖει πινόμενον· καὶ ταῖς ἐκ θώρακος καὶ πνεύμονος ἀνα-
γωγαῖς τῶν γλίσχρων καὶ παχέων οὐ σμικρὰ συντελεῖ· καὶ ῥεῦμα
8 κοιλίας ἵσῖησι. Μέσον δέ ἐσῖι κατὰ θερμότητα καὶ ψυχρότητα τὴν
9 κρᾶσιν. — Αἰγίλωψ διαφορητικὴν ἔχει δύναμιν· τὰς γοῦν σκληρυ-
10 νομένας φλεγμονὰς καὶ αἰγίλοπας καὶ ἀλωπεκίας ἰᾶται. — Ἀείζωον
ἑκάτερον καὶ τὸ μικρὸν καὶ τὸ μέγα, ξηραίνει μὲν πρᾴως· κρατεῖ
δὲ ἐν αὐτῷ ἡ ὑδατώδης μᾶλλον οὐσία καὶ ψύχει σφοδρῶς· ταῦτα
ἄρα καὶ πρὸς ἐρυσιπέλατα καὶ ἕρπητας καὶ πρὸς τὰς ἐκ ῥεύματος
11 φλεγμονὰς ἁρμόττει. — Αἶρα θερμαίνει καὶ ξηραίνει σφοδρῶς καὶ
12 δρασῖικῶς ὡς ἐγγὺς εἶναι τῶν δριμέων. Ξηραίνει δὲ ἱκανῶς. — Αἰ-
γείρου τὰ ἄνθη θερμαίνει μὲν σφοδρῶς, ξηραίνει δὲ μετρίως· ἔσῖι
13 δὲ καὶ λεπῖομερής. Ἡ ῥητίνη δὲ αὐτῆς θερμοτέρας δυνάμεώς ἐσῖιν.
14 — Ἀκακία ξηραίνει μὲν σφοδρῶς, ψύχει δὲ ἱκανῶς ἐπειδὴ ἂν πλυνθῇ·
μὴ πλυνθεῖσα δὲ μετρίως· οὐκ οὖσα γὰρ ὁμοιομερῆ ἔχει τινὰ μόρια

1. ὁρμάς om. M. — 3. ἧπαρ] τὰ δέ MV. — 8. μέν om. F. — 10. διαφορητικόν M. — 13. χυμῶν om. F. — 23. ἐκ ῥευμάτων Gal.; ἐξ αἵματος MV; ἐκ φλέγματος F. — 28. Ἀκακία] Ἀκακία ἀώρων προύμνων χυλός F in ora.

ϖαρεσπαρμένα καὶ λεπ7ομερῆ καὶ θερμὰ τὰ κατὰ τὴν ϖλύσιν ἀπο-
χωροῦντα. — Ἀκαλήφης τὰ φύλλα καὶ ὁ καρπὸς διαφορητικῆς καὶ 15
λεπ7ομεροῦς ἐσ7ι δυνάμεως ἱκανῶς, ἄνευ τοῦ θερμαίνειν σφοδρῶς·
ἰᾶται γοῦν φύματα καὶ ϖαρωτίδας, καὶ τὰ ἐκ θώρακος καὶ ϖνεύ-
μονος ἀνάγει, καὶ τῶν ὑγρῶν τὰ ϖαχέα τε καὶ γλίσχρα. Ἔχει δέ 16
τι καὶ φυσῶδες, ᾧ καὶ τὰς ϖρὸς συνουσίαν ὁρμὰς ἐπεγείρει, καὶ
μάλισ7α δὲ ὅταν μετὰ γλύκεος ϖίνηται τὸ σπέρμα.—Ἀκάνθης λευκῆς 17
ἡ ῥίζα ξηραίνει μετρίως καὶ σ7ύφει, διὸ καὶ κοιλιακοὺς καὶ σ7ομα-
χικοὺς ὠφελεῖ, καὶ τὰς τοῦ αἵματος ἀναγωγὰς ἐπέχει, καὶ τὰ οἰδή-
ματα καταπλατ7ομένη ϖροσ7ελεῖ, καὶ ὀδόντας ἀλγοῦντας ὀνίνησιν,
εἴ τις διακλύζοιτο τῷ ἀφεψήματι. Τὸ δὲ σπέρμα λεπ7ομεροῦς τε καὶ 18
θερμῆς ἐσ7ι δυνάμεως, ὥστε καὶ τοῖς σπωμένοις ἁρμότ7ει ϖινόμε-
νον. — Ἀκόρου ἡ ῥίζα θερμὴν ἔχει καὶ ξηρὰν τὴν δύναμιν σφοδρῶς, 19
καὶ λεπ7ομερῆ τὴν σύσ7ασιν, κινεῖ γοῦν οὖρα καὶ σπλῆνας ὠφελεῖ
σκιῤῥουμένους.—Ἀλόη θερμαίνει μὲν σφοδρῶς, ξηραίνει δὲ καὶ σ7ύ- 20
φει μετρίως. Ἔσ7ι δὲ εὐσ7όμαχον τὸ φάρμακον, εἴπερ τι καὶ ἄλλο, 21
καὶ κόλπων κολλητικόν. Ἰᾶται δὲ καὶ τὰ δυσεπούλωτα τῶν ἑλκῶν 22
καὶ μάλιστα τὰ κατὰ ἕδραν τε καὶ αἰδοῖον· ὠφελεῖ δὲ καὶ τὰς φλεγ-
μονὰς αὐτῶν ὕδατι διεθεῖσα καὶ κολλᾷ τραύματα κατὰ τὸν αὐτὸν
τρόπον. Ἁρμότ7ει δὲ ὡσαύτως χρωμένῳ καὶ ϖρὸς τὰς ἐν σ7όματι 23
καὶ ῥισὶ καὶ ὀφθαλμοῖς φλεγμονάς· καὶ ὅλως ἀποκρούεσθαί τε καὶ
διαφορεῖν ἅμα ϖέφυκε, μετὰ καὶ τοῦ ῥύπ7ειν ἐπὶ ὀλίγον, εἰς ὅσον
ἕλκεσι καθαροῖς ἄλυπον. — Ἅλες ϖαραπλησίαν ἔχουσι δύναμιν οἵ 24
τε ὀρυκτοὶ καὶ οἱ ἐκ τῆς θαλάσσης ἐκ δυαῖν ϖοιοτήτων ῥυπ7ικῆς
τε καὶ σ7υπ7ικῆς· ὅτι δὲ ἀμφότεροι καὶ ξηραίνουσι, δῆλον. Διὸ τὸ 25
μὲν ὑγρὸν τὸ ἐν τῷ σώματι ϖᾶν ἐκϐόσκονται, τὰ δὲ σ7ερεὰ συν-
άγουσι τῇ σ7ύψει, καὶ διὰ τοῦτο ταριχεύουσι, καὶ ἄσηπ7α φυλάσ-
σουσι τὰ σώματα. Οἱ δὲ κεκαυμένοι τὸ μὲν διαφορητικὸν ἔχουσι 26
μᾶλλον, τὸ ϖιλεῖν δὲ καὶ συνάγειν, οὐχ ὁμοίως. Ἁλὸς ἄνθος λεπ7ο- 27
μερέσ7ερόν ἐσ7ι τῶν κεκαυμένων ἁλῶν, δριμύ τε τῇ ϖοιότητι καὶ

6. τι φυσῶδες MV. — 12. δυνάμεώς τε καί MV. — 15. σκιῤῥουμένη MV. — 26. ϖάνυ μέν βόσκονται F. — 28. μέν om. M.

28 διαφορητικὸν ἱκανῶς. — Ἄμμι σπέρμα θερμαίνει καὶ ξηραίνει σφο-
δρῶς, λεπτομερὲς ὄν· ἔστι δὲ καὶ διουρητικὸν καὶ διαφορητικόν. —
29 Ἀμόργη θερμαίνει μὲν, οὐ μὴν ἐπιφανῶς δάκνει· εἰ δὲ ἑψηθείη,
30 γίνεται δυνάμεως θερμῆς καὶ ξηρᾶς ἱκανῶς. — Ἀμπέλου λευκῆς, ἣν
δὴ καὶ βρυωνίαν καλοῦσιν, οἱ βλαστοὶ τὴν οὔρησιν κινοῦσι μετρίως.
31 Ἡ δὲ ῥίζα ῥυπτικὴν καὶ ξηραντικὴν καὶ λεπτομερῆ δύναμιν ἔχει,
καὶ συμμέτρως θερμαίνει· διὸ καὶ σπλῆνας τήκει καὶ σκιῤῥουμέ-
32 νους, πινομένη τε καὶ ἔξωθεν ἐπιτιθεμένη. Μετὰ δὲ σύκων, καὶ
33 ψώρας καὶ λέπρας ἰᾶται. Ἡ δὲ μέλαινα παραπλήσιός ἐστι τὰ πάντα
34 τῇ προειρημένῃ πλὴν ἀσθενεστέρα. — Ἀμύγδαλα τὰ μὲν πικρὰ φα-
νερῶς τῆς λεπτυνούσης ἐστὶ δυνάμεως ὡς ἔφηλίν τε ἀποκαθαίρειν,
καὶ ταῖς ἐκ θώρακος καὶ πνεύμονος ἀναπτύσεσι τῶν γλίσχρων τε
καὶ παχέων χυμῶν ἱκανῶς συντελεῖν· ἀλλὰ καὶ ἐκφράττει καὶ ἐκ-
35 καθαίρει τὸ ἧπαρ, καὶ σπλῆνα, καὶ κῶλον, καὶ νεφρούς. Καὶ τὸ
δένδρον αὐτὸ σύμπαν ὁμοίαν ἔχει τὴν δύναμιν, ὥστε καὶ τούτου
36 τὰς ῥίζας ἑφθὰς ἐπιπλάττοντας, ἀποκαθαίρουσιν ἔφηλιν. Τὰ δὲ
37 γλυκέα τῶν ἀμυγδάλων ἀσθενέστερα τῶν πικρῶν. — Ἀμμωνια-
κὸν μαλακτικῆς ἐστι δυνάμεως ἐπιτεταμένης, ὥστε καὶ τοὺς ἐπὶ
τῶν ἄρθρων πώρους διαλύειν καὶ σπλῆνας ἐσκιρρουμένους ἰᾶσθαι
38 καὶ χοιράδας διαφορεῖν. — Ἄμωμον ἔοικε τὴν δύναμιν ἀκόρῳ
πλὴν ὅσον ξηρότερόν ἐστι τὸ ἄκορον, πεπτικώτερον δέ πως τὸ
39 ἄμωμον. — Ἀναγαλλὶς ἑκατέρα, ἥ τε τὸ κυανοῦν ἄνθος ἔχουσα, καὶ
τὸ φοινικοῦν, ῥυπτικῆς ἱκανῶς εἰσι δυνάμεως, ἔχουσαί τι καὶ ὑπό-
40 θερμον καὶ ἑλκτικὸν, ὥστε καὶ σκόλοπας ἐπισπᾶσθαι. Ὁ δὲ χυλὸς
αὐτῶν ἐκ ῥινῶν καθαίρει· καὶ καθόλου ξηραντικὴν ἔχουσι δύναμιν
ἄδηκτον, ὅθεν καὶ τραύματα κολλῶσι καὶ τοῖς σηπομένοις βοηθοῦ-
41 σιν. — Ἀνδράχνη ψυχρὰ μὲν σφοδρῶς ἐστιν, ὑγρὰ δὲ ἱκανῶς,
ὀλίγου τινὸς αὐστηροῦ μετέχουσα· διὸ καὶ ἀποκρούεται ῥεύματα,
καὶ μάλιστα τὰ χολώδη καὶ θερμὰ μετὰ τοῦ μεταβάλλειν αὐτὰ, καὶ
42 ἀλλοιοῦν κατὰ τὴν ποιότητα καὶ σφοδρῶς ἐμψύχειν. Ταῦτά τοι καὶ

11. ἔφηλιν] ἐφ' ἡστέον (sic) MV. — Ib. τε om. MV. — 15. δ. δὲ αὐτὸ MV.

τοὺς καυσομένους ὀνίνησιν εἴπερ τι καὶ ἄλλο τῶν ὑποχονδρίων. Αἱ- 43
μωδίας τέ ἐστιν ἴαμα, καὶ ὁ χυλὸς δὲ αὐτῆς ὁμοίως· ὥστε οὐ μόνον
ἔξωθεν ἐπιτιθέμενος, ἀλλὰ καὶ πινόμενος ἐμψύχει. Τοῦτο μέν γε 44
καὶ αὐτῇ τῇ βοτάνῃ συμβέβηκεν ὅλῃ βρωθείσῃ. Διὰ δὲ τὸ ὑποστύ- 45
φειν, καὶ δυσεντερικοῖς ἐστιν ἐπιτήδειον ἔδεσμα καὶ γυναικείῳ ῥῷ
καὶ αἵματος ἀναγωγαῖς· εἰς ταῦτα μέν τοι πολὺ δραστικώτερος αὐ-
τῆς τῆς πόας ὁ χυλός ἐστιν. — Ἀνεμῶναι πᾶσαι δριμείας καὶ ῥυπτι- 46
κῆς εἰσιν ἐπισπαστικῆς τε καὶ ἀναστομωτικῆς δυνάμεως· ὅθεν ἥ τε
ῥίζα διαμασωμένη φλέγμα προκαλεῖται, καὶ ὁ χυλὸς ἐκ ῥινῶν κα-
θαίρει, καὶ τὰς ἐν ὀφθαλμοῖς οὐλὰς λεπτύνει, καὶ τὰ ῥυπαρὰ δὲ τῶν
ἑλκῶν καθαίρουσι, καὶ λέπρας ἀφιστῶσιν, ἔμμηνά τε προκαλοῦνται
[προστιθέμεναι], καὶ γάλα κατασπῶσιν. — Ἄνηθον ἱκανῶς θερμαί- 47
νει καὶ ξηραίνει, διόπερ εἰκότως ἐναφεψημένον ἐλαίῳ διαφορητικόν
τε καὶ ἀνώδυνον καὶ ὑπνοποιὸν καὶ πεπτικὸν ὠμῶν καὶ ἀπέπτων
ὄγκων ὑπάρχει. Καυθὲν δὲ, σφοδρῶς θερμαίνει καὶ ξηραίνει, καὶ 48
διὰ τοῦτο πλαδαροῖς ἕλκεσιν ἐπιπαττόμενον ὀνίνησι καὶ μάλιστα τοῖς
ἐν αἰδοίῳ· τὰ δὲ ἐπὶ τῆς πόσθης χρόνια καὶ ἐπουλοῖ καλῶς. Ὑγρό- 49
τερον δὲ δηλόνοτι καὶ ἧττον θερμόν ἐστι τὸ χλωρὸν, ὥστε πεπτι-
κώτερον μὲν ἔσται τοῦ ξηροῦ μᾶλλον, διαφορητικὸν δὲ ἧττον. —
Ἀνθεμὶς ἢ χαμαίμηλον θερμαίνει καὶ ξηραίνει μετρίως, ἔστι δὲ καὶ 50
λεπτομερὴς, καὶ διὰ ταῦτα καὶ διαφορητικὴ καὶ ἀραιωτικὴ καὶ χα-
λαστική· διὸ καὶ πόνοις ἀρωγόν ἐστιν, εἴπερ τι καὶ ἄλλο καὶ
ἀλγημάτων πραϋντικόν. Ἀνίησι δὲ καὶ χαλᾷ, τὰ συντεταμένα καὶ 51
μαλάττει τὰ μετρίως σκληρά· καὶ πυρετῶν ὁπόσοι χωρὶς σπλάγ-
χνων φλεγμονῆς ἐνοχλοῦσι λυτικὸν ὑπάρχει, καὶ τούτων μάλιστα
τῶν ἐπὶ χολώδεσι χυμοῖς, ἢ πυκνώσει δέρματος συνισταμένων.
Ἔστι δὲ καὶ ὑποχονδρίῳ εὐμενὲς εἴπερ τι καὶ ἄλλο. Ἐξανθημάτων δὲ 52-53
διὰ τὴν ὑπερβολὴν τοῦ πυρετοῦ γενομένων ἐν τῇ κεφαλῇ χαμαίμηλον
[θεραπεύει] εἰ μὲν εἴη χλωρὸν ἐναφεψημένον τῷ ἐλαίῳ, εἰ δὲ ξηρὸν,

12. [προστιθέμεναι] e Gal.; om. Codd. — 27. ἐξανθήματα..... γενομένον (sic) M 1ª m.; γενόμενα 2ª m. — 29. [θεραπεύει] e Vers ant. om. Codd.

54 ὄξει προνοτισθέν. Ἐπιτήδειον δὲ καὶ ἐπὶ ὧν οὔπω τέλεων ἡ ὕλη
πέπαυται τῆς ἀναφορᾶς· τήν τε γὰρ οὐσίαν ἐν τῇ κεφαλῇ διαφορεῖ
καὶ ἑτέραν οὐκ ἐπισπᾶται, ὅπερ οὐδενὶ τῶν ἄλλων συντετύχηκε
55 φαρμάκων. — Ἀννήσου τὸ σπέρμα θερμαίνει καὶ ξηραίνει σφοδρῶς.
56 Ταῦτα ἄρα καὶ οὐρητικόν ἐσῖι καὶ διαφορητικόν· ἐμπνευματώσεις
57 τε τὰς κατὰ γασῖέρα καθίσῖησιν. — Ἀρισῖολοχία ἡ μακρὰ μὲν ἕλκη
σαρκοῖ, καὶ ταῖς τῶν ὑσῖερῶν πυρίαις χρησιμωτέρα καθέσῖηκεν.
58 Ἐπὶ ὧν δὲ παχὺν χυμὸν ἰσχυρότερον λεπῖῦναι δεῖ, τῆς σῖρογγύλης
[ἡ] χρεία· διὰ τοῦτο καὶ τὰ διὰ ἔμφραξιν ἢ πάχος ἀπέπῖου πνεύ-
59 ματος ἀλγήματα θεραπεύει μᾶλλον ἡ σῖρογγύλη. Καὶ σκόλοπας
ἀνάγει καὶ σηπεδόνας ἰᾶται καὶ τὰ ῥυπαρὰ τῶν ἑλκῶν· καθαίρει
60 καὶ ὀδόντας καὶ οὖλα λαμπρύνει. Βοηθεῖ δὲ καὶ ἀσθματικοῖς καὶ
λύζουσιν, ἐπιληπῖικοῖς τε καὶ δριμέσι χυμοῖς, καὶ ποδαγρικοῖς
μετὰ ὕδατος πινομένη, καὶ ῥήγμασι δὲ καὶ σπάσμασιν, εἴπερ τι καὶ
61 ἄλλο φάρμακον, ἐπιτήδειόν ἐσῖιν. — Ἀρνόγλωσσον ἱκανῶς ψύχει
καὶ ξηραίνει καὶ σῖύφει· διὸ καὶ πρὸς ἕλκη κακοήθη καὶ ῥεύματα
καὶ σηπεδόνας ἁρμότῖει· καὶ διὰ τοῦτο καὶ πρὸς δυσεντερίας, καὶ
αἱμοῤῥοΐδας ἵσῖησι, καὶ, εἴ τι διακαὲς ἐμψύχει, καὶ κολλᾷ κόλπους.
62 Ἔσῖι δὲ καὶ τῶν ἄλλων ἑλκῶν προσφάτων τε ἅμα καὶ παλαιῶν
ἴαμα· ξηραίνει γὰρ ἀδήκτως καὶ μετέχει ψύξεως μηδέπω ναρκού-
63 σης. Καὶ ὁ καρπὸς δὲ αὐτοῦ καὶ ἡ ῥίζα παραπλησίας εἰσὶ δυνά-
μεως, πλὴν ὅτι ξηροτέρας τε καὶ ἧτῖον ψυχρᾶς· ἀλλὰ ὁ μὲν καρπὸς
64 λεπῖομερέσῖερος, αἱ ῥίζαι δὲ παχυμερέσῖεραι. Καὶ αὐτὰ δὲ τὰ
φύλλα τῆς πόας ξηρανθέντα λεπῖομερεσῖέρας τε καὶ ἧτῖον ψυχρᾶς
65 γίνεται δυνάμεως. Ταῦτα ἄρα, ταῖς μὲν ῥίζαις, καὶ πρὸς ὀδόντων
ἀλγήματα χρῶνται· διαμασωμέναις τε καὶ τοῖς διακλύσμασιν αὐτῶν
ἐνεψομέναις· πρὸς δὲ τὰς κατὰ ἧπαρ καὶ νεφροὺς ἐμφράξεις, καὶ
ταύταις μὲν, ἀλλὰ καὶ τοῖς φύλλοις· καὶ πολὺ μᾶλλον ἔτι τῷ
66 καρπῷ. — Ἄρον ῥυπῖικῆς ἐσῖι δυνάμεως, οὐκ ἰσχυρᾶς, ὥσπερ τὸ
67 δρακόντιον· ξηραίνει δὲ ἱκανῶς καὶ θερμαίνει. Αἱ ῥίζαι δὲ αὐτοῦ

9. [ἡ] om. Codd. — 11. ἰᾶται om. — 13 τε om. MV. — 27. ἐνεψομέλαις MV. — 12. λαμπρύνει] λεπῖύνει MV. ἐνιεμέναις MV.

τέμνουσιν ἐσθιόμεναι πάχος χυμῶν οὐ μετρίως, ὥστε καὶ ταῖς ἐκ
θώρακος ἀναπλύσεσίν εἰσιν ἐπιτήδειοι. — Ἀρσενικὸν καυστικῆς ἐστι 68
δυνάμεως, ἄκαυστόν τε καὶ κεκαυμένον. Χρῶνται δὲ αὐτῷ καὶ εἰς τὰς 69
ψιλώσεις τῶν τριχῶν ὡς ἀποκαίοντι, καὶ εἰ χρονίσειέ γε, καὶ αὐ-
τοῦ τοῦ δέρματος ἅπτεται. — Ἀρτεμισίαι θερμαίνουσι, καὶ ξηραίνου- 70
σιν ἱκανῶς· εἰσὶ δὲ καὶ λεπτομερεῖς μετρίως, ὥστε καὶ πρὸς τοὺς
ἐν νεφροῖς λίθους ἁρμόττει μετρίως καὶ εἰς πυρίας ὑστερῶν. — Ἀσά- 71
ρου αἱ ῥίζαι παραπλήσιαι μὲν ταῖς τοῦ ἀκόρου, ἐπιτεταμέναι δὲ
μᾶλλον, ὥστε, ἐξ ὧν περὶ ἐκείνου προείρηται, καὶ περὶ τούτων
χρὴ γινώσκειν. — Ἀσπάλαθος ἐξ ἀνομοιομερῶν σύγκειται δριμέων 72
τε καὶ στυφόντων. Καὶ τοῖς μὲν δριμέσιν ἑαυτοῦ μέρεσι θερμαίνει, 73
τοῖς δὲ στύφουσι ψύχει, ὥστε ξηραίνει κατὰ ἄμφω· καὶ διὰ τοῦτο
πρός τε σηπεδόνας καὶ ῥεύματα χρήσιμος ὑπάρχει. — Ἀσπάραγος 74
μυακάνθινος ῥυπτικῆς ἐστι δυνάμεως· οὔτε δὲ θερμαίνει σαφῶς,
οὔτε ψύχει. Ταῦτά τοι καὶ νεφρῶν καὶ ἥπατος ἐκφρακτικὸς ὑπάρ- 75
χει· καὶ μάλιστα αἱ ῥίζαι τῆς βοτάνης καὶ τὸ σπέρμα. Καὶ μὲν δὴ καὶ 76
ὀδονταλγίας ἰᾶται τῷ ξηραίνειν ἄνευ τοῦ θερμαίνειν. — Ἀσταφὶς 77
ἡ μὲν ἥμερος πεπτική τέ ἐστιν ἅμα καὶ στυπτικὴ καὶ διαφορητικὴ
μετρίως· ἡ δὲ ἀγρία, δριμεῖα ἰσχυρῶς, ἀποφλεγματίζει τε καὶ
ῥύπτει σφοδρῶς, ὥστε καὶ πρὸς ψώρας ἁρμόττειν. Μετέχει δὲ καὶ 78
καυστικῆς τινος δυνάμεως. — Ἀσφοδέλου ἡ ῥίζα χρήσιμος ὥσπερ 79
ἄρου καὶ ἀσάρου καὶ δρακοντίου ῥυπτικῆς ὑπάρχουσα δυνάμεως. Καυ- 80
θείσης δὲ αὐτῆς, ἡ τέφρα θερμοτέρα καὶ ξηραντικωτέρα καὶ λεπτο-
μερεστέρα καὶ διαφορητικωτέρα γίνεται, καὶ διὰ τοῦτο καὶ ἀλωπε-
κίας ἰᾶται. — Ἀτράφαξις ὑγρὰ μέν ἐστιν ἱκανῶς, ψυχρὰ δὲ μετρίως· 81
στύψεως δὲ οὐ μετέχει, ἀλλὰ ἔστιν ὑδατώδης ὁμοίως τῇ μαλάχῃ.
Εἰσὶ δὲ ὑγρότεραι μὲν αἱ κηπευόμεναι πολὺ καὶ ψυχρότεραι τῶν 82
ἀγρίων· διὸ καὶ φλεγμοναῖς ταῖς ἀρχομέναις ἐπιτήδειαι, ταῖς ἀκ-
μαζούσαις δὲ καὶ παρακμαζούσαις αἱ ἄγριαι συμφορώτεραι. Ὁ δὲ 83
καρπὸς ῥυπτικῆς ἐστι δυνάμεως, ὅθεν καὶ πρὸς ἰκτέρους, τοὺς ἐπὶ

17. Ἀσταφίς] Ἀγρίας ἀσταφίδος τὸ σπέρμα ἑψόμενον μετὰ ἐλαίου λεῖον καλῶς τὰς ἐν τῇ κεφαλῇ ῥυπαρίας τῶν παιδίων ἰᾶται ἀλειφόμενον F in ora.

84 ἥπατος ἐμφράξεις, χρήσιμος ὑπάρχει. — Ἀφρόνιτρον ῥυπ7ικὴν ἔχει
δύναμιν, ὥσ7ε μὴ μόνον ἀποσπᾶν, ἀλλὰ καὶ κνῆσιν ἰᾶσθαι, διαφο-
85 ρουμένων ὑπὸ αὐτοῦ τῶν ἐργαζομένων αὐτὴν ἰχώρων. — Ἀψίνθιον
86 θερμὸν μὲν μετρίως ἐσ7ὶ, ξηρὸν δὲ σφοδρῶς. Ὁ δὲ χυλὸς αὐτοῦ
πολὺ τῆς πόας θερμότερον· ῥύπ7ει δὲ καὶ τονοῖ διὰ τοῦτο, καὶ
τοὺς ἐν τῇ κοιλίᾳ χολώδεις χυμούς· ἐπί τε τὴν κάτω διαχώρησιν
ἀπάγει, καὶ διὰ οὔρων καὶ μᾶλλον τὸ ἐν φλεψὶ χολῶδες καθαίρει.
87 Διὰ αὐτὰ δὲ ταῦτα καὶ φλέγματος ἐν τῇ κοιλίᾳ περιεχομένου προσ-
φερόμενον οὐδὲν ὀνίνησιν· ἡ γὰρ σ7υπτικὴ δύναμις ἐν αὐτῷ τῆς
πικρᾶς ἐσ7ιν ἰσχυροτέρα· τῷ δὲ καὶ δριμύτητός τινος μετέχειν
πλείονι μέτρῳ θερμόν ἐσ7ιν ἤπερ ψυχρόν.

B

1 Βάλσαμον ἱκανῶς θερμαίνει καὶ ξηραίνει· ἔσ7ι δὲ καὶ λεπ7ομε-
2 ρές. Ὁ δὲ ὀπὸς αὐτοῦ, λεπ7ομερέσ7ερος, οὐ μὴν εἰς τοσοῦτόν γε
θερμὸς, εἰς ὅσον οἴονταί τινες ὑπὸ τῆς λεπ7ομερείας ἐξαπατώμε-
3 νοι. Ὁ δὲ καρπὸς αὐτοῦ παραπλήσιός ἐσ7ι κατὰ τὴν δύναμιν· ἀπο-
4 λείπεται δὲ μακρὸν κατὰ τὸ λεπ7ομερές. — Βαλαύσ7ιόν ἐσ7ι
μὲν ἄνθος ἀγρίας ῥοιᾶς· ἰσχυρῶς δὲ σ7ύφει τὴν γεῦσιν, καὶ ξη-
ραντικῆς δὲ καὶ ψυκ7ικῆς ἐσ7ι δυνάμεως, καὶ παχυμεροῦς, καὶ
εἰ παρατρίμμασι καὶ τοῖς ἕλκεσιν ἐπιπάτ7οις αὐτὸ, τάχισ7α ἂν
ἴδοις εἰς οὐλὴν ἰόντα· διὰ ταῦτά τοι κἀπὶ τῶν ἀναγόντων αἷμα
5 πάντες αὐτῷ χρῶνται. — Βάτου τὰ φύλλα καὶ οἱ βλασ7οὶ δὲ δια-
μασώμενοι ἄφθας τε καὶ τὰ ἄλλα ἕλκη τὰ ἐν σ7όματι θεραπεύ-
6 ουσι· καὶ μέντοι καὶ τραύματα κολλᾷ. Ὁ δὲ καρπὸς, εἰ μὲν εἴη
πέπειρος, ἔχει τι καὶ συμμέτρου θερμότητος· ὁ δὲ ἄωρος ὑπὸ
ψυχρᾶς οὐσίας καὶ γεώδους ἐπικρατεῖται, καὶ διὰ τοῦτο σφοδρῶς
7 ξηραντικός ἐσ7ι. Ξηρανθεὶς δὲ ἀποτίθεται, ὥσπερ καὶ τὸ ἄνθος αὐ-
τῆς· καὶ ποιοῦσι πρὸς δυσεντερίας καὶ ῥεύματα γασ7ρὸς καὶ ἀτονίας

10. καί om MV. — 16. μακρόν Gal.; μακρῷ F; μερικῶς MV. — 24-25. ὑπὸ ψυχρᾶς οὐσίας καὶ γεώδους post Ξηρανθεὶς δέ (l. 26) repet. MV.

καὶ τὰς τοῦ αἵματος ϖτύσεις. Ἡ δὲ ῥίζα ϖρὸς τῷ στύφειν ἔτι καὶ 8
λεπτομερής ἐστι καὶ διὰ τοῦτο τοὺς ἐν νεφροῖς θρύπτει λίθους. —
Βδέλλιον μαλακτικῆς ἐστιν ἰσχυρῶς [καὶ] δραστηρίου δυνάμεως· 9
καὶ χρῶνταί τινες ἐπί τε βρογχοκήλων καὶ ὑδροκήλων ἀσίτῳ ϖτυέλῳ
δεύοντες, ὡς ἐμπλαστῶδες γενέσθαι· καὶ τὰς τῶν ἀπέπτων ϖνευμά-
των διαδρομὰς ἐξιᾶται καὶ ϖόνους ϖλευρῶν καὶ ῥήγματα. — Βλίτον 10
τὸ λάχανον ὑγρόν τε καὶ ψυχρόν ἐστιν ἱκανῶς. — Βολβὸς φυσώδης 11
καὶ ἀφροδισιαστικός ἐστιν ἐσθιόμενος· ἐπιπλαττόμενος δὲ κολλητι-
κὸς γίνεται καὶ ξηραντικός. — Βούτυρον ϖεπτικῆς ἐστι δυνάμεως, 12
ἔχον ὀλίγον τι τῆς διαφορητικῆς, ὥστε καὶ ϖαρωτίδας καὶ βουβῶ-
νας καὶ τὰς ἐν τῷ στόματι φλεγμονὰς, καὶ ἄλλα δὲ μύρια ϖολλάκις
αὐτὸ μόνον ἰᾶται ϖαιδικῶν σωμάτων καὶ γυναικείων. Ἀλλὰ κἀπὶ τῶν 13
φυόντων τοὺς ὀδόντας ϖαιδίων διαχριόμενον συνεχῶς, οὐδὲν ἧττον
μέλιτος λεπτύνει τὰ οὖλα, καὶ μέντοι καὶ καταποθὲν, συντελεῖ με-
γάλως ταῖς ἐκ ϖνεύμονος ἀναπτύσεσι μετὰ τοῦ συμπέττειν τὰς φλεγ-
μονάς. — Βούφθαλμον δριμύτερόν ἐστι τῆς ἀνθεμίδος καὶ διὰ τοῦτο 14
καὶ διαφορητικώτερον μέχρι τοῦ καὶ σκληρίας ἰᾶσθαι μιγνύμενον
κηρωτῇ. — Βράθυ τῶν θερμαινόντων ἐστὶ καὶ ξηραινόντων σφοδρῶς 15
καὶ διαφορούντων διὰ λεπτομέρειαν, καὶ καταμηνίων ἐστὶν ἀγωγὸν
εἴπερ τι ἄλλο, καὶ διὰ οὔρων αἷμα κινεῖ καὶ τὰ ζῶντα τῶν ἐμβρύων
διαφθείρει, τά τε νεκρὰ ἐμβάλλει. Ἔνιοι δὲ καὶ ἀντὶ κιναμώμου δι- 16
πλάσιον αὐτὸ βάλλουσιν.

Γ

Γάλα τὸ εὐχυμώτατον ϖρὸς τὰ δριμέα καὶ δάκνοντα ῥεύματα συμ- 1
φορώτατόν ἐστιν. Εὔτρεπτον δὲ ὂν, καὶ μάλιστα ὅταν τὸ ϖεριέχον 2
θερμὸν ᾖ, ἀποβάλλει ϖολὺ τῆς δυνάμεως, εἰ μή τις αὐτῷ χρῷτο
θερμῷ τῶν τιτθῶν ἐκχυθέντι. Μάλιστα μὲν γυναικὸς εὐεκτούσης τε 3
καὶ καλῶς διαιτωμένης, γάλακτι χρηστέον· εἰ δὲ μὴ αἰγὸς ἢ ἵππου

3. [καί] e Gal.; om. Codd. — 5. ἀπέμπων V; ἀναπέμπον M. — 6. Βλίτον] Λακπαγιοῦνος F in ora. — 9. ἐστι δυνάμ. om. F. — 21-22. διπλάσιον] διάθεσιν M.

4 ἢ βοὸς ἢ ὄνου ἢ προβάτου. Ὁ δὲ ὀῤῥὸς αὐτοῦ ῥυπτικὴν ἔχει δύνα-
μιν καὶ ὑπαγωγῆς γασΊρὸς ἕνεκα λαμβάνεται, καὶ διὰ κλυσΊήρων
ἐνίεται, περιῤῥύπΊων τε καὶ περιπλύνων ἀδήκτως τὰς ἐν τοῖς ἐντέ-
ροις δριμύτητας, ἕλκη τε δριμέα καὶ ἰχῶρας ἔχοντα κατακλυζόμε-
5 νον. Ἐπὶ δὲ δυσεντερικῶν καὶ πάντων τῶν κατὰ γασΊέρα δριμέων
ῥευμάτων προαφεψημένῳ τῷ γάλακτι, διαπύρους κάχληκας ἐμβάλ-
λειν χρὴ, καὶ ἕψειν τὸ γάλα μέχρις ἂν ἐκδαπανηθῇ τὸ πλεῖσΊον
6 αὐτοῦ τῆς ὀῤῥώδους ὑγρότητος. Ἐὰν δέ τις σιδήρους κυλίνδρους δια-
7 πύρους ἐμβάλλῃ βελτίονα τὴν δύναμιν ἀπεργάζεται. Τὸ δὲ ὅλον
γάλα πρός τε τὰ κατὰ τοὺς ὀφθαλμοὺς ῥεύματα δριμέα ἁρμόττει
καὶ πρὸς τὰ ὑποσφάγματα καὶ ὑπώπια· καὶ μέντοι κατὰ τῶν βλε-
φάρων ἔξωθεν ὑπνοῦν μελλόντων ἐπιτιθέμενον ἅμα ῥοδίνῳ καὶ ᾠῷ
πέττει τὰς φλεγμονάς· γυναικὸς δὲ ἔσΊω τὸ γάλα πρόσφατον ἐκ
8 τῶν τιτθῶν ἐπισΊαζόμενον. Ἐνίεμεν δὲ αὐτὸ καὶ μήτραις ἡλκωμέ-
ναις, καὶ πρὸς πάντα δὲ τὰ παρηγορίας δεόμενα διὰ φλεγμονὴν, ἢ
9 δῆξιν, ἢ κακοήθειαν καλῶς αὐτῷ χρώμεθα. — Γῆ πᾶσα ξηραντικὴν
ἔχει δύναμιν, καὶ ὅταν ἀκριβῶς ᾖ πυρώδους ἄμικτος οὐσίας, ἀδηκ-
τότατα ξηραίνει· συντελεῖ δὲ εἰς τοῦτο αὐτῇ τὸ πεπλῦσθαι, καὶ
τῆς γεωργουμένης ἡ λιπαρὰ πᾶσα γῆ, χρήσιμος εἰς θεραπείαν
ἐσΊὶν ἁπάντων τῶν ξηρανθῆναι δεομένων μορίων, ὅθεν αὐτῇ κατὰ
10 Ἀλεξάνδρειάν τε καὶ Αἴγυπτον χρῶνται. Εἶδον γοῦν ὑδερώδεις τε
καὶ σπληνώδεις ἐνίους χρωμένους τῇ ΑἰγυπΊίᾳ γῇ καὶ χριομένους.
11 Κατὰ δὲ τὸν αὐτὸν τρόπον, τὰς παλαιὰς φλεγμονὰς καὶ τὰ χαῦνα
τῶν οἰδημάτων ὀνίνησιν ὁ πηλὸς ὁ αὐτὸς, ὥσΊε ἐνίους οἶδα καὶ
ὅλην τὴν ἕξιν οἰδαλέους ἐξ αἱμοῤῥοΐδων ἀμέτρου κενώσεως γενομέ-
12 νης, ὠφεληθέντας ἐναργῶς. Καί τινες ἀλγήματα χρόνια, κατά τινα
13 μόρια ἐσΊηριγμένα, τῷ πηλῷ τούτῳ τελέως ἐξιάσαντο. Ἡ δὲ Λημ-
νία γῆ, ἄλλοτε ἄλλῳ τῶν ὑγρῶν ἀνιεμένη, φάρμακον ἐπιτήδειον
γίνεται πρός τε τὴν τῶν [προσφάτων] τραυμάτων κόλλησιν καὶ
14 τῶν χρονίων ἢ δυσεπουλώτων ἢ κακοήθων ἴασιν. Ἡ δὲ Σαμία γῆ

5. δυσεντερίας F. — 29. [προσφάτων] e Gal.; om. Codd.

καὶ μᾶλλον ὁ Σάμιος ἀσlὴρ καλούμενος, χρήσιμος εἰς τὰς τοῦ αἵμα-
τος ϖlύσεις, ὅθεν ἂν γινόμεναι τύχωσιν, ὥσπερ καὶ ἡ Λημνία
σφραγίς. Ὠφελοῦσι δὲ καὶ τὰς ἐκ μήτρας αἱμοῤῥαγίας καὶ τὰς δυσ- 15
εντερικὰς ἑλκώσεις, ϖρὶν σηπεδονώδεις γενέσθαι. Ἡ δὲ Σαμία καὶ 16
ϖαρηγορεῖ Φλεγμονὰς, μάλισlα [δὲ] τὰς ἐν τιτθοῖς καὶ ὄρχεσι καὶ
ϖᾶσι τοῖς ἀδενώδεσι. Χρὴ δὲ λειοῦν αὐτὴν μετὰ ὕδατος, εἶτα οὕτως 17
μιγνύειν ῥόδινου τοσοῦτον ὅσον τὸ μιχθὲν οὐκ ἐάσει ξηρανθῆναι
τὸ φάρμακον· ἀγαθὸν γὰρ τὸ οὕτως σκευασθὲν ὅπου μετρίως ψύξαι
βουλόμεθα μετὰ τοῦ ϖαρηγορεῖν, ὡς φαίνεσθαι τῆς Σαμίας τὴν
δύναμιν εἶναι μετρίως ψυκτικήν. Ῥυπlικαὶ δέ εἰσι μετρίως ἥ τε Σε- 18
λινουσία καὶ ἡ Χία· διὸ καί τινες τῶν γυναικῶν ἐπὶ τὸ ϖρόσωπον
αὐταῖς χρῶνται. — Γίγαρτα ξηραίνει μὲν ἱκανῶς, ψύχει δὲ μετρίως 19
καὶ σlύφει· διὸ καὶ ϖᾶσι τοῖς κατὰ γασlέρα ϖάθεσι τοῖς ῥοώδεσιν
ἱκανῶς ἁρμότlει. — Γλαύκιον σlύφει καὶ ψύχει σαφῶς, ὥσlε θερα- 20
πεύειν καὶ ἐρυσιπέλατα ὅσα γε μὴ ἰσχυρά. — Γλήχων θερμαίνει καὶ 21
λεπlύνει σφοδρῶς· τὰ γοῦν ἐκ θώρακος καὶ ϖνεύμονος ὑγρὰ ϖαχέα
καὶ γλίσχρα ῥᾳδίως ἀναπlύεσθαι ϖοιεῖ, καὶ καταμήνια ϖροτρέπει. —
Γλυκυῤῥίζης ὁ χυλὸς τραχύτητας ἐκλεαίνειν ϖέφυκεν, οὐκ ἐν ἀρτη- 22
ρίᾳ μόνον, ἀλλὰ καὶ ἐν ψωρώδει κύστει. Ἔσlι δὲ ἡ σύμπασα κρᾶσις 23
αὐτῆς χλιαρά· ἐπεὶ δὲ ὑγρόν ἐσlι τῇ κράσει, δεόντως ἄδιψόν ἐσlι
τὸ φάρμακον. — Γλυκυσίδης ἡ ῥίζα, τῆς καὶ ϖαιονίας, καταμήνια 24
κινεῖ, μέγεθος ἀμυγδάλου σὺν μελικράτῳ ϖινομένη. Ἐκκαθαίρει δὲ 25
καὶ ἧπαρ ἐμπεφραγμένον καὶ νεφρούς· τῇ σlύψει δὲ τὰ κατὰ γασ-
lέρα ῥεύματα ἵσlησιν, ἐν οἴνῳ τινὶ τῶν αὐστηρῶν κατεψηθεῖσα καὶ
ϖοθεῖσα. Ὅλως δὲ ξηραντικὴ τὴν δύναμίν ἐσlιν ἰσχυρῶς· ὥσlε οὐκ 26
ἀπελπίσαιμι καὶ ϖεριαπlομένην αὐτὴν εὐλόγως ϖεπισlεῦσθαι ϖαι-
δίων ἐπιληψίας ἰᾶσθαι. Ἔστι δὲ ἡ δύναμις αὐτῆς λεπτομερὴς μὲν 27
καὶ ξηραντική· θερμὴ δὲ οὐκ ἐπιφανῶς. — Γογγυλίδος τὸ σπέρμα 28
ϖρὸς ἀφροδίσια ϖαροξύνει, φυσῶδες ὄν· καὶ ἡ ῥίζα δὲ αὐτοῦ φυ-

1. *καί* om. MV. — 5. *μάλισlα* om. MV. — Ib. [*δέ*] om. Codd. — 14. *Γλαύκιον*] *Βιόλα* F interl. — 22. *ϖινόμενον* V; om. M. — 23. *δέ*] *καί* F. — 26. *αὐτὴν εὐκόλως εὐλόγως* F. — 28. *Γογγυλίδος*] *ῥάπια* F interl.

29 σώδης ἐσ7ὶ καὶ σπέρματος γεννητική. — Γύψος ξηραντικῆς ἐσ7ι
30 καὶ ἐμπλασ7ικῆς δυνάμεως. Καυθεῖσα δὲ τὸ μὲν ἐμπλασ7ικὸν οὐχ
ὁμοίως ἔχει, λεπ7ομερεσ7έρα δὲ καὶ ξηραντικωτέρα γίνεται· καὶ
μέντοι καὶ ἀποκρουσ7ικὴ καὶ μάλισ7α ὅταν ὀξυκράτῳ δευθῇ.

Δ

1 Δαῦκος, ὁ καὶ σ7αφυλῖνος, θερμαντικῆς ἐσ7ι δυνάμεως καὶ
2 λεπ7υντικῆς. Ἡ δὲ ῥίζα πρὸς τοῖς εἰρημένοις καὶ φυσῶδές τι κέκτη-
ται καὶ ἀφροδισιαστικόν· τὸ δὲ σπέρμα τὸ μὲν τοῦ ἡμέρου ἔχει
τι καὶ αὐτὸ παροξυντικὸν εἰς ἀφροδίσια· τὸ δὲ τοῦ ἀγρίου τε-
λέως ἐσ7ὶν ἄφυσον, καὶ διὰ τοῦτο διουρητικόν τε καὶ καταμηνίων
3 κινητικόν. — Δάφνης τοῦ δένδρου τὰ φύλλα καὶ ὁ καρπὸς ξηραίνει
4 καὶ θερμαίνει σφοδρῶς καὶ μᾶλλόν γε ὁ καρπός. Ὁ δὲ φλοιὸς τῆς
ῥίζης ἧτ7όν ἐστι δριμὺς, πικρὸς δὲ μᾶλλον καί τι σ7ύψεως ἔχει· διὸ
5 καὶ λίθους θρύπ7ει καὶ ἡπατικοὺς ὠφελεῖ. Πίνεται δὲ σὺν οἴνῳ εὐώδει
6 τριωβόλου σ7αθμός. — Δέρματα παλαιὰ ἀπὸ τῶν κατ7υμάτων καυ-
θέντα πρὸς τὰ ἐκ τῶν ὑποδημάτων ἕλκη, παυσαμένης τῆς φλεγμονῆς
ὠφελεῖ· ξηραντικὴ γάρ ἐσ7ιν ἡ τοιαύτη τέφρα, καὶ εἰκότως καὶ τὰ
πυρίκαυσ7α τῶν ἑλκῶν καὶ τὰ καλούμενα παρατρίμματα κατὰ τοὺς
7 μηροὺς γινόμενα θεραπεύει. — Διφρυγὲς μικτῆς ἐσ7ι ποιότητος
καὶ δυνάμεως σ7υφούσης καὶ δριμείας· διὸ καὶ τῶν κακοήθων ἑλκῶν
8 ἀγαθόν ἐσ7ι φάρμακον. — Δίκταμνον λεπ7ομερεσ7έρας ἐσ7ὶν οὐσίας
9 ἢ κατὰ γλήχωνα, τὰ δὲ ἄλλα παραπλήσιον αὐτῇ. Τὸ δὲ καλούμενον
10 ψευδοδίκταμνον ἀσθενέσ7ερον εἰς ἅπαντα τοῦ δικτάμνου. — Δρακόν-
τιον δριμύτερόν ἐσ7ι τοῦ ἄρου καὶ πικρότερον, καὶ θερμαντικώτε-
11 ρον καὶ λεπ7ομερέσ7ερον. Ἔχει δέ τινα καὶ σ7ύψιν βραχεῖαν σὺν τῇ
δριμύτητι καὶ πικρότητι· δρασ7ήριον οὖν γίνεται φάρμακον ἐν τοῖς
12 μάλισ7α. Ἡ γοῦν ῥίζα διακαθαίρει τὰ σπλάγχνα πάντα τούς τε
παχεῖς καὶ γλίσχρους λεπ7ύνουσα χυμοὺς, καὶ τῶν κακοήθων ἑλκῶν

7. σπέρμα σφόδρα τὸ μέν F. — 16. καὶ τά om. MV. — 23-25. καὶ θερμαντικώτερον..... πικρότητι om. MV. — 26. πάντα om. F. — Ib. τε om. V.

ἄριστόν ἐστι φάρμακον. Ἀποκαθαίρει τε καὶ ἀποῤῥύπτει γενικῶς 13
τά τε ἄλλα τὰ ῥύψεως δεόμενα, καὶ ἀλφοὺς σὺν ὄξει. Τὰ δὲ φύλλα 14
ἕλκεσι καὶ τραύμασι νεοτρώτοις ἁρμόττει, καὶ ὅσῳ γε ἂν ἧττον ᾖ
ξηρὰ, τοσοῦτον μᾶλλον κολλᾷ· τὰ γὰρ ξηρότερα δριμύτερά ἐστιν
ἢ ὡς τραύμασι πρέπειν. — Δρυὸς πάντα τὰ μόρια στυφούσης μετ- 15
έχει ποιότητος, ἐπιπλέον δὲ τοῦ ἔνδον τὸ ὑπὸ τῷ φλοιῷ τοῦ πρέ-
μνου ὑμενῶδες, καὶ τὸ ὑπὸ τῷ κελύφει τῆς βαλάνου τὸ περὶ τῇ
σαρκὶ τοῦ καρποῦ· διὸ καὶ πρὸς ῥοῦν γυναικεῖον, αἵματός τε πτύ-
σεις καὶ δυσεντερίας καὶ γαστρὸς ῥεύματα χρόνια, χρήσιμον εἶναι
πεπίστευται· σφοδρότερον δὲ ἔτι στύφει. Φηγὸς καὶ πρῖνος τούτων 16
καὶ τῆς δρυὸς τὰ φύλλα καταπλασσόμενα ξηραίνειν οὐκ ἀγεννῶς
πέφυκε· κολλᾷ γοῦν καὶ τραύματα καταπλασσόμενα κατὰ τοῦ πέ-
ριξ χωρίου παντὸς τοῦ τραύματος.

E

Ἐβίσκος ἢ ἀλθαία· ἐστὶ δὲ μαλάχη [ἡ] ἀγρία διαφορητικὴ, χα- 1
λαστικὴ, ἀφλέγμαντος, πραϋντικὴ, πεπτικὴ φυμάτων δυσπέπτων.
Καὶ ἡ ῥίζα δὲ αὐτῆς καὶ τὸ σπέρμα, τὰ μὲν ἄλλα, ὁμοίως ἐνεργεῖ 2
τῇ πόᾳ, λεπτομερεστέραν δὲ καὶ ξηραντικωτέραν ἐκείνης καὶ προσ-
έτι ῥυπτικωτέραν ἐπιδείκνυται δύναμιν, ὥστε καὶ ἀλφοὺς ἀποῤ-
ῥύπτειν, καὶ τὸ σπέρμα τοὺς ἐν νεφροῖς λίθους διαιρεῖν. Τὸ δὲ τῆς 3
ῥίζης ἀφέψημα καὶ πρὸς δυσεντερίαν καὶ διάῤῥοιαν καὶ πρὸς αἵμα-
τος ἀναγωγὴν ὠφέλιμόν ἐστιν, ὡς ἐχούσης τινὰ δύναμιν στυπτικήν.
— Ἐλαίας οἱ μὲν θαλλοὶ τοσοῦτον μετέχουσι ψύξεως ὅσον καὶ 4
στύψεως· ὁ δὲ καρπὸς ὁ [μὲν] ἀκριβῶς πέπειρος θερμὸς συμμέτρως
ἐστὶν, ὁ δὲ ἄωρός ἐστι στυπτικώτερος καὶ ψυχρότερος. — Τὸ δὲ 5
ἔλαιον τὸ ἐξ αὐτῶν, ὑγραντικόν ἐστι συμμέτρως καὶ θερμόν· τὸ δὲ ἐκ
δρυπετοῦς μάλιστα τοῦ καρποῦ, γλυκὺ γινόμενον· τὸ δὲ ὠμοτριβὲς
εἰς ὅσον στύψεως μετείληφεν, εἰς τοσοῦτον καὶ ψύξεως. Τὸ δὲ πα- 6

14. [ἡ] Gal.; om. Codd. — 15. πραϋντική Gal. F; πρεσβυτέρα MV. — 22. θαλλοί Gal.; θερμοί Codd. — 23. [μέν] Gal.; om. Codd.

λαιὸν ἔλαιον τὸ ἐκ τοῦ γλυκέος, θερμότερόν τε καὶ διαφορητικώ-
τερόν ἐσʼλι· καὶ τὸ ἐκ τοῦ ὠμοτριϐοῦς δὲ, ἐπειδὰν δὲ ἀποϐάλλῃ
7 τελέως τὴν σʼλύψιν, ὁμοιοῦται τῷ ἄλλῳ. Τὸ δὲ λεπʼλομερὲς, τοιοῦτο
δέ ἐσʼλι τό τε καθαρὸν καὶ διαυγὲς ὁρῶντι, καπειδὰν ὀλίγον ληφθὲν
ἐπιπλεῖσʼλον ἐκʼλείνηται τοῦ σώματος ἑαυτῷ μένῃ συνεχὲς, ἀνα-
πίνηταί τε πρὸς τοῦ χρωτὸς, ἡγεῖσθαι κάλλισʼλόν τε καὶ τὴν ἐλαίου
8 μάλισʼλα κεκτημένον ἀρετήν. — Ἐλλέϐορος ἑκάτερος ῥυπʼλικῆς τε ἅμα
καὶ θερμῆς δυνάμεώς ἐσʼλι· διὸ καὶ πρὸς ἀλφοὺς καὶ ψώρας καὶ
9 λέπρας καὶ λειχῆνας ἁρμόττουσι. Καὶ μὲν δὴ καὶ εἰς σύριγγα τετυ-
λωμένην ὁ μέλας καθιέμενος ἐν δύο που καὶ τρισὶν ἡμέραις, ἀφ-
ίσʼλησιν αὐτῆς τὸν τύλον· καὶ ὀδόντας δὲ σὺν ὄξει διακλυζόμενος
10 ὀνίνησι θερμαίνων καὶ ξηραίνων σφοδρῶς. — Ἐλξίνη, ἔνιοι δὲ
περδίκιον· ἡ δύναμις αὐτῆς ῥυπʼλική τε καὶ ἀτρέμα σʼλυπʼλικὴ μετὰ
ὑγρότητος ὑποψυχροῦ, ὅθεν ἰᾶται φλεγμονὰς πάσας, ἐν ἀρχῇ τε
καὶ ἀναϐάσει μέχρι τῆς ἀκμῆς, καὶ μάλισʼλα τὰς θερμάς· καὶ μὲν
11 δὴ καὶ ἀρχομένοις φυγέθλοις ἐπιπλάτʼλεται. Καὶ ὁ χυλὸς δὲ αὐτῆς
μετὰ ῥοδίνου πρὸς ὤτων ἀλγήματα φλεγμαινώδη μετρίως ποιεῖ. —
12 Ἔλυμος, ἢ [καὶ] μελίνη, ξηραντική ἐσʼλιν· ἵσʼλησι γοῦν καὶ τὰ κατὰ
13 γασʼλέρα ῥεύματα, καθάπερ ὁ κέγχρος. Εἰ δὲ ἔξωθεν ἐπιπλασθείη,
14 ξηραίνει καὶ ψύχει. — Ἐρέϐινθος γάλακτος καὶ σπέρματός ἐσʼλι γεν-
15 νητική· προτρέπει δὲ καὶ καταμήνια. Εἰσὶ δὲ οἱ κριοὶ καλούμενοι
16 τῶν ἄλλων οὐρητικώτεροι. Τὸ δὲ ἐφέψημα αὐτῶν καὶ λίθους τοὺς
17 ἐν νεφροῖς θρύπʼλει, καὶ μάλισʼλα τὸ τῶν μελάνων. Τὸ δὲ ἕτερον
γένος τῶν ἐρεϐίνθων καλοῦνται μὲν ὀροϐίαι· δυνάμεως δέ εἰσιν
ἐπισπασʼλικῆς, διαφορητικῆς, τμητικῆς, ῥυπʼλικῆς· εἰσὶ γὰρ θερ-
18 μοὶ μὲν καὶ μετρίως ὑγροί. Μετέχουσι δὲ καὶ πικρότητος, διὰ ἣν
καὶ ἧπαρ καὶ σπλῆνα καὶ νεφροὺς ἐκκαθαίρουσι καὶ ψώρας, καὶ
λειχῆνας ἀπορρύπʼλουσι καὶ παρωτίδας καὶ διδύμους σκιῤῥουμένους

2. ἐκ om. MV. — 5. μένῃ e Gal.; μὲν ὂν M; μὲν ὁ FV. — 12. Ἐλξίνη] hic F. Dioscor. IV, 39, exscrib. — 18. ἢ [καὶ] μελ. Cf. *Coll. med.* XV. 1, t. II, p. 633, l. 2; ἡ μελ. Codd. — 20. σπέρματος] αἵματος F. — 23. ἐν τοῖς νεφροῖς F. — Ib. τό ante τῶν om. F. — 25. γάρ] καί F. — 27. ψώρας] ἥλους P.

διαφοροῦσι, καὶ τὰ κακοήθη τῶν ἑλκῶν ἰῶνται, μετὰ μέλιτος. —
19 Ἕρπυλλον θερμαντικῆς εἰς τοσοῦτόν ἐσῖι δυνάμεως ὡς καταμήνια καὶ
20 οὖρα κινεῖν. — Ἔρια τὰ μὲν ῥυπαρὰ τὰ καλούμενα οἰσυπηρὰ, ἐπιτι-
θέμενα κατὰ τῶν τεθλασμένων καὶ συντετριμμένων μορίων, συνερ-
γεῖ ταῖς ἐπιβροχαῖς πρὸς τὴν ὠφέλειαν· τὰ δὲ καθαρὰ καυθέντα
δύναμιν ἔχει δριμεῖάν τε καὶ θερμὴν ἅμα λεπῖομερείᾳ, ὥσῖε καὶ
21 τὰς πλαδαρὰς σάρκας ἐπὶ τῶν ἑλκῶν ἀποτήκειν τάχισῖα. Καίεται
δὲ καθάπερ καὶ τῶν ἄλλων τὰ πλεῖσῖα, καινῆς χύτρας πληρουμένης
ἐξ αὐτῶν, εἶτα πωμαζομένης ὀπὰς πλείονας ἔχοντι τῷ πώματι.
22 — Εὐπατόριον ἡ πόα λεπῖομεροῦς καὶ ῥυπῖικῆς καὶ σῖυπῖικῆς καὶ
τμητικῆς ἐσῖι δυνάμεως, ἄνευ θερμότητος ἐπιφανοῦς· ὅθεν καὶ τὰς
23 κατὰ ἧπαρ ἐμφράξεις ἀποκαθαίρει. Μετέχει δὲ καὶ σῖύψεως βρα-
24 χείας, διὰ ἣν καὶ τόνον ἐντίθησι τῷ σπλάγχνῳ. — Εὐφόρβιον
25 καυσῖικῆς ἐσῖι καὶ λεπῖομεροῦς δυνάμεως. — Ἐχίδνης αἱ σάρκες
ἀρτυόμεναι ὡς ἐγχέλεις ἐλαίῳ καὶ ἁλσὶ, καὶ ἀνήθῳ καὶ πράσῳ καὶ
ὕδατι συμμέτρῳ, καὶ ἐσθιόμεναι, πᾶν ἐκκαθαίρουσι τὸ σῶμα διὰ
26 τοῦ δέρματος οὕτως, ὡς τοὺς ἐλεφαντιῶντας ἰᾶσθαι. Ἐπεὶ δὲ ἔνιοι
τῶν φαγόντων [αὐτὰς] δίψει ἑάλωσαν σφοδροτάτῳ, φεύγειν χρὴ τὰς
παρὰ τῇ θαλάσσῃ καὶ τόποις ἁλμυρίδας ἔχουσι διαιτωμένας· ἁλμυ-
27 ρὰν γὰρ ἔχουσι τὴν σάρκα· καλοῦσι δὲ αὐτὰς διψακούς. Ἔσῖιν οὖν
ἡ σὰρξ τῶν ἐχιδνῶν ξηραντικὴ δυνάμει μετρίως· ἐπείγεται δὲ, ὡς
ἔοικεν, ἡ δύναμις αὐτῆς ἐπὶ τὸ δέρμα, διὰ τούτου κενοῦσα τὰ κατὰ
τὸ σῶμα περιτῖώματα δαψιλῆ· καὶ τοῦ δέρματος ἀφίσῖαται καὶ
ἀποπίπῖει καθάπερ τις λοπὸς ἡ ἐπιδερμὶς ὀνομαζομένη κατὰ ἣν αἵ τε
ψῶραι καὶ αἱ λέπραι καὶ αἱ ἐλεφαντίασεις γίνονται.

Z

1 Ζύμη λεπῖομερής ἐσῖι καὶ μετρίως θερμή· διὰ τοῦτο τοίνυν
ἀδήκτως τε καὶ ἀλύπως ἐπισπᾶταί τε ἅμα ἐκ τοῦ βάθους καὶ δια-
φορεῖ.

2-p. 614, 6. ἕρπυλλον... ἄλλη om. F in lac. — 18. [αὐτάς] e Gal.; om. Codd.

Η

1 Ἡδύοσμος, ἔνιοι μίνθην, θερμὴ τὴν δύναμίν ἐστι σφοδρῶς· διὰ
δὲ τὴν ἐκ τοῦ κηπεύεσθαι προσοῦσαν ὑγρότητα πρὸς ἀφροδίσια
2 παρορμᾷ μετρίως. Ἔχει δέ τι καὶ πικρὸν, ᾧ τὰς ἕλμινθας ἀναιρεῖ,
καὶ στρυφνὴ δέ ἐστι· διὰ ὀξυκράτου πινομένη τὰς προσφάτους αἵ-
3 ματος ἀναγωγὰς ἐπέχει. Καὶ λεπτομεροῦς δέ ἐστιν οὐσίας, εἴπερ
τις καὶ ἄλλη.

Θ

1 Θαψία δριμείας ἐστὶν ἰσχυρῶς καὶ θερμαντικῆς δυνάμεως σὺν
ὑγρότητι· ἕλκει τοιγαροῦν ἐκ βάθους βιαίως καὶ αὐτὸ διαφορεῖ τὸ
2 ἑλχθέν· χρόνῳ δὲ ἐργάζεται πλείονι ταῦτα. — Θέρμος ὁ μὲν ἐσθιό-
μενος τῶν ἐμπλαστικῶν ἐστι φαρμάκων· ὁ δὲ τὴν σύμφυτον ἔχων
3 πικρότητα, ῥυπτικός τε καὶ διαφορητικὸς ὑπάρχει. Ἀναιρεῖ δὲ καὶ
ἕλμινθας ἐπιπλαττόμενός τε καὶ μετὰ μέλιτος ἐκλειχόμενος, ἢ μετὰ
4 ὀξυκράτου πινόμενος. Οὐ μὴν ἀλλὰ καὶ τὸ ἀφέψημα αὐτοῦ τὰς
ἕλμινθας ἐκβάλλειν πέφυκε· καὶ μέν γε καταντλούμενον, ἔξωθεν
ὀνίνησιν ἀλφοὺς, ἀχῶρας, ἐξανθήματα, ψώρας, γαγγραίνας, ἕλκη
5 κακοήθη· ξηραίνει γὰρ ἀδήκτως. Ἐκκαθαίρει δὲ καὶ ἧπαρ καὶ
6 σπλῆνα μετὰ πηγάνου καὶ πεπέρεως. Ἐπισπᾶται δὲ καὶ καταμήνια
7 καὶ ἔμβρυα σὺν μυρσίνῃ καὶ μέλιτι προστιθέμενον. Ἔστι δὲ καὶ τὸ
ἄλευρον τῶν θέρμων ἀδήκτως διαφορητικόν· οὐ γὰρ τὰ πελιδνὰ
μόνον, ἀλλὰ καὶ χοιράδας καὶ φύματα σκληρὰ θεραπεύει· ἐν ὄξει
8 δὲ ἕψειν αὐτὸ χρὴ τηνικαῦτα ἢ ὀξυμέλιτι ἢ ὀξυκράτῳ. Διαφορεῖ δὲ
καὶ πελιδνὰ, καὶ τὰ ἄλλα ὅσα εἴρηται πρόσθεν τὸ ἀφέψημα δρᾷν,
9 ἅπαντα καὶ τὸ ἄλευρον ἐργάζεσθαι πέφυκε. — Θεῖον ἑλκτικῆς ἐστι

8. αὐτό Gal.; αὐτή Codd. — 11. πικρότητα] θερμότητα MF 1ª m. — 13. ὄξους καταπινόμενος M; ὀξυκράτου καταπινόμ. V. — 15. γαγγρ. γεγραμμένας M. — 16-17. ἧπαρ... Ἐπισπᾶται δὲ καί om. M. — 22. εἴρηται τηνικαῦτα πρόσθεν καὶ τό M. — 23. πάντα Gal.; πᾶν F; ἄπαν M; ἅπαντα V.

δυνάμεως, θερμόν τε ὂν καὶ λεπ7ομερὲς, ὡς πρὸς πολλὰ τῶν ἰοϐό-
λων ἀνθίσ7ασθαι. Καὶ ψώρας καὶ λέπρας καὶ λειχῆνας ἰᾶται μετὰ 10
ῥητινῆς τερμινθίνης· ἀποῤῥύπ7ει γὰρ καὶ τὰ τοιαῦτα πάθη πάντα
χωρὶς τοῦ πρὸς τὸ βάθος ἀποκρούεσθαι. — Θλάσπεως τὸ σπέρμα 11
δριμὺ τὴν δύναμίν ἐσ7ι· τὰ γοῦν ἐντὸς ἀποστήματα ῥήσσει ποτι-
ζόμενον, καὶ καταμήνια κινεῖ, καὶ ἔμϐρυα φθείρει, καὶ διὰ ἕδρας
ἐνιέμενον ἰσχιάδας ὀνίνησιν, αἱματώδη κενοῦν. — Θρίδαξ ὑγρὸν καὶ 12
ψυχρόν ἐσ7ιν, οὐ μὴν ἐσχάτως διὰ τοῦτο, πρὸς μὲν τὰς θερμὰς
φλεγμονὰς ἁρμόττει καὶ πρὸς τὰ μικρὰ καὶ κοῦφα τῶν ἐρυσιπελά-
των. Ἔσ7ι δὲ καὶ ἄδιψον ἔδεσμα. Τὸ δὲ σπέρμα πινόμενον ἐπέχει 13-14
γονοῤῥοίας, ὅθεν καὶ τοῖς ὀνειρώτ7ουσι δίδοται. — Θύμος θερμαίνει 15
καὶ ξηραίνει σφοδρῶς, καὶ τέμνει σαφῶς, καὶ διὰ τοῦτο οὖρα καὶ
καταμήνια κινεῖ καὶ ἔμϐρυα κατασπᾷ, καὶ τὰ σπλάγχνα διακα-
θαίρει πινόμενος, ταῖς τε ἐκ θώρακος καὶ πνεύμονος ἀναπ7ύσεσι
συνεργεῖ.

I

Ἶξὸς ἐκ τοῦ βάθους ἕλκει σφοδρῶς ὑγρότητας, οὐ τὰς λεπ7ὰς μό- 1
νον, ἀλλὰ καὶ τὰς παχυτέρας, διαχεῖ τε καὶ διαφορεῖ. Ἔσ7ι δὲ τῶν 2
οὐκ εὐθὺς ἐκθερμαινόντων φαρμάκων, ἀλλὰ χρόνου δεομένων, ὥσπερ
ἡ θαψία. — Ἴου τὰ μὲν φύλλα τὴν ὑδατώδη καὶ ὑπόψυχρον οὐσίαν 3
ἐπικρατοῦσαν κέκτηται, καὶ διὰ τοῦτο καὶ κατὰ ἑαυτὰ καὶ μετὰ
ἀλφίτων ἐπιπλατ7όμενα τὰς θερμὰς φλεγμονὰς παρηγορεῖ. — Ἰὸς 4
δριμεῖαν ἔχει ποιότητα, διαφορητικός τε καὶ καθαιρετικὸς καὶ σμη-
κτικὸς ὤν, οὐχ ἁπαλῆς μόνον, ἀλλὰ καὶ σκληρᾶς σαρκός. Εἰ δέ 5
τις αὐτοῦ μίξειεν ὀλίγον κηρωτῇ πολλῇ ῥυπ7ικὸν ἀδήκτως γίνεται
τὸ μιχθὲν ἐξ ἀμφοῖν. — Ἵππουρις σ7υπ7ικὴν μετὰ πικρότητος ἔχει 6
ποιότητα καὶ διὰ τοῦτο ξηραντικὴν ἰσχυρῶς τε ἅμα καὶ ἀδήκτως.
Τραύματά τε οὖν τὰ μέγισ7α καταπλατ7ομένη κολλᾷ, κἂν νεῦρα 7
διατετμημένα τύχῃ, καὶ τὰς ἐντεροκήλας ὀνίνησιν, ἀλλὰ καὶ πρὸς

3. ὃ ἀποῤῥ. F. — 4. πρὸ βάθους M. om. F. — 13. τά om. MV. — 17. τάς — 8. τάς om. MV. — 9. φλεγμονάς om. MV. — 22. καθαρτικός Codd.

τὰς ἀναγωγὰς τοῦ αἵματος καὶ πρὸς τὸν ῥοῦν τὸν γυναικεῖον, καὶ
μάλιστα τὸν ἐρυθρὸν, ἔτι δὲ δυσεντερίας καὶ τἄλλα τὰ κατὰ τὴν
γαστέρα ῥεύματα γενναῖόν ἐστι φάρμακον ἡ πόα πινομένη διὰ ὕδα-
8 τος ἢ διὰ οἴνου. Ὁ δὲ χυλὸς αὐτῆς αἱμοῤῥαγίας τε τὰς ἐκ ῥινῶν
ὠφελεῖ, καὶ τὰ κατὰ τὴν γαστέρα ῥοώδη πάθη σύν τινι τῶν αὐστη-
ρῶν οἴνων πινόμενος, ἢ καὶ διὰ ὕδατος, ἂν πυρέττοντες τυγχάνω-
9 σιν. — Ἰσάτις ἥμερος ᾗ οἱ βαφεῖς χρῶνται, ξηραντικῆς ἰσχυρῶς
ἐστι δυνάμεως, οὐδέπω δακνούσης· ἔστι δὲ πικρά τε ἅμα καὶ στυ-
πτικὴ, ταῦτά τοι καὶ τὰ μεγάλα τραύματα τῶν σκληρῶν σωμάτων
κολλᾷ, κἂν ἐν ταῖς τῶν μυῶν ὦσι κεφαλαῖς, καὶ κατὰ τῶν αἱμοῤ-
ῥαγούντων ὠφελίμως ἐπιπλάττεται, καὶ τοὺς οἰδηματώδεις ὄγκους
ἱκανῶς διαφορεῖ τε ἅμα καὶ προστέλλει καὶ πρὸς ἅπαντα κακοήθη
10 ἕλκη δραστικῶς ἀνθίσταται. — Ἰτέας τοῖς φύλλοις χρήσαιτο ἄν τις
11 εἰς τραυμάτων ἐναίμων κόλλησιν. Ἔστι δὲ αὐτά τε καὶ τὸ ἄνθος αὐτῆς
12 δυνάμεως ἀδήκτως ξηραντικῆς, ἠρέμα καὶ στυφούσης. Ἔνιοι δὲ καὶ
χυλὸν ἐξ αὐτῶν ποιοῦντες ἄδηκτόν τε καὶ ξηραῖνον ἴσχουσι φάρμα-
13 κον εἰς πολλὰ χρήσιμον. Καὶ ὁ φλοιὸς δὲ τοῦ δένδρου παραπλή-
σιος, πλὴν ὅσον ξηρότερος· ἀλλὰ τοῦτόν γε καίουσι ἔνιοι καὶ
χρῶνται τῇ τέφρᾳ πρὸς ὅσα περ ἂν ἰσχυρῶς δέωνται ξηραίνειν.
14 Τοὺς γοῦν καλουμένους ἥλους τε καὶ τύλους καὶ μυρμηκίας ἐξαίρου-
σιν αὐτὴν δεύοντες ὄξει δριμεῖ.

K

1–2 Καλαμίνθη θερμὴ καὶ ξηρὰ σφοδρῶς ἐστι καὶ λεπτομερής. Πι-
νομένη δὲ αὐτή τε κατὰ ἑαυτὴν ξηρὰ, καὶ διὰ μελικράτου, θερμαί-
νει τε σαφῶς καὶ ἱδρῶτας κινεῖ καὶ διαφορεῖ καὶ ξηραίνει τὸ σύμπαν
3 σῶμα. Τοῦτο γοῦν αὐτῇ τινες ἐχρήσαντο καὶ πρὸς τὰ κατὰ περίο-
δον ῥίγη, ἔξωθεν μὲν, ἐναφεψῶντες ἐλαίῳ, καὶ συναλείφοντες ὅλον
τὸ σῶμα μετὰ τρίψεως γενναίας, ἔσωθεν δὲ λαμϐάνοντες, ὡς εἴρηται,

14. τραύματα ἐναίμων τὴν κ. M. — 27-28. ὅλον..... λαμϐάν. om. M 1a m.

καὶ μέν γε καὶ καταπλάτlουσί τινες αὐτὴν κατὰ ἰσχίων ἐπὶ τῶν
ἰσχιαδικῶν ὡς γενναῖον βοήθημα· καὶ γὰρ ἕλκει τὰ ἐκ τοῦ βάθους
εἰς τὴν ἐκτὸς ἐπιφάνειαν, καὶ θερμαίνει σύμπαν τὸ ἄρθρον, ἐπι-
καίει τε σαφῶς τὸ δέρμα καὶ τὰ καταμήνια πινομένη τε καὶ προσlι-
θεμένη προκαλεῖται πάνυ δρασlηρίως. Ἀγαθὸν δὲ καὶ τῶν ἐλε- 4
φαντιώντων φάρμακον, τῷ διαφορεῖν καὶ λεπlύνειν ἰσχυρῶς καὶ
τέμνειν τοὺς παχεῖς χυμούς· οὕτω δὲ καὶ οὐλὰς μελαίνας λαμπρύ-
νει καὶ ὑπώπια διαφορεῖ. Κάλλιον δὲ ἐπὶ τῶν τοιούτων ἕψοντας ἐν 5
οἴνῳ, καταπλάσσειν αὐτὴν, καὶ χλωρὰν μᾶλλον ἢ ξηράν· ἰσχυρο-
τέρα γὰρ ξηρανθεῖσα γίνεται καὶ καίειν ἑτοιμοτέρα. Καὶ ἀσκαρίδας 6
δὲ καὶ ἕλμινθας ὁ χυλὸς αὐτῆς ἐνιέμενός τε καὶ πινόμενος ἀναιρεῖν
πέφυκεν. Ὀνίνησι δὲ καὶ τοὺς ἀσθματικοὺς καὶ τοὺς ἰκτεριώδεις τῷ 7
ῥύπlειν τε καὶ διακαθαίρειν τὰς κατὰ τὸ ἧπαρ ἐμφράξεις. Ἔσlι δὲ 8
εἰς ἅπαντα τὰ προειρημένα πρακτικωτέρα ἡ ὄρειος. — Καλάμου 9
φραγμίτου ῥίζα ῥυπlικῆς μετέχει δυνάμεως, οὐκ ὀλίγης ἥκισlα
δριμείας. Τὰ μέντοι φύλλα τὰ χλωρὰ μετρίως ἐμψύχει, μετέχοντα 10
καὶ αὐτὰ τῆς ῥυπlικῆς δυνάμεως. Ὁ φλοιὸς δὲ αὐτοῦ καυθεὶς λεπlο- 11
μεροῦς ἱκανῶς καὶ διαφορητικῆς γίνεται δυνάμεως, ἔχων τι καὶ
ῥυπlικὸν ὡς καὶ ξηραίνειν καὶ θερμαίνειν σφοδρῶς. — Καννάβεως 12
ὁ καρπὸς ἄφυσός τε καὶ ξηραντικὸς εἰς τοσοῦτον ὡς, εἰ πλείων
βρωθείη, ξηραίνει τὴν γονήν. — Κάπνιος δριμείας ἅμα καὶ πικρᾶς 13
μετέχει ποιότητος· οὐκ ἀπήλλακται δὲ παντάπασιν, οὐδὲ τῆς
σlρυφνῆς, ὅθεν οὖρά τε χολώδη προτρέπει πολλὰ καὶ τὰς κατὰ
ἧπαρ ἐμφράξεις τε καὶ ἀτονίας ἰᾶται. Λαπάσσει δὲ καὶ γασlέρα 14
ξηρὰ λεῖα μελικράτῳ ἐμπλασσομένη· καὶ τονοῖ σlόμαχον ξηρὰ
ὁμοίως οἴνῳ κεκραμένῳ ἐμπλασσομένη. — Καππάρεως τῆς ῥίζης 15
ὁ φλοιὸς ἐκ μαχομένων σύγκειται δυνάμεων· ῥύπlειν μὲν γὰρ
δύναται καὶ διακαθαίρειν καὶ τέμνειν καὶ διαφορεῖν τῇ δριμύτητι,
συνάγειν δὲ καὶ σφίγγειν τῇ σlρυφνότητι· καὶ διὰ τοῦτο σπλῆνας

4-5. προσlιθεμένη om. MV. — 6. F. — 21. τὴν γονήν om. MV. — 23. ἰσχυρῶς] ἱκανῶς F. — 10. γάρ om. - τροφῆς M; V 1[a] m. σlροφῆς. — 27. μέν M. — 17. καὶ αὐτά om. MV. — εἰς om. om. MV.

σκιρρώδεις, εἴπερ τι καὶ ἄλλο καὶ τοῦτο τὸ φάρμακον ὀνίνησιν,
ἔξωθεν δὲ τοῖς ἐπιτηδείοις καταπλάσμασι μιγνύμενον, εἴσω δὲ τοῦ
σώματος λαμβανόμενον, ἀφεψημένον ὄξει ἢ ὀξυμέλιτι, ἢ ξηρὸν
λεῖον ἀναμιγνύμενον αὐτοῖς· κενοῖ γὰρ σαφῶς τοὺς γλίσχρους καὶ
παχεῖς χυμοὺς οὕτω ληφθὲν οὐ διὰ οὔρων μόνον, ἀλλὰ [καὶ] κατὰ
16 γασλέρα. Πολλάκις δὲ καὶ αἱματώδη διαχωροῦσιν, ἐπὶ οἷς οἵ τε
17 σπλῆνες ὀνίνανται καὶ αἱ κατὰ ἰσχίον ὀδύναι. Καὶ μὲν δὴ καὶ κα-
ταμήνια κινεῖ καὶ ἀποφλεγματίζει· καταπλατλόμενος δὲ τοῖς κακοή-
θεσιν ἕλκεσιν, ἀγαθὸν φάρμακον, καὶ ὀδόντων δὲ πόνους ὠφελεῖ·
ἐνίοτε μὲν ὄξει συνεψηθεὶς, ἐνίοτε δὲ οἴνῳ, πολλάκις δὲ αὐτὸς μόνος
18 ἐκδακνόμενος. Καὶ ἀλφοὺς δὲ ἀφαιρεῖ σὺν ὄξει καὶ χοιράδας, καὶ
ὄγκους σκληροὺς διαφορεῖ, τοῖς ἐπιτηδείοις πρὸς ταῦτα φαρμάκοις
19 μιγνύμενος. Θαυμασλὸν δὲ οὐδὲν καὶ τοὺς ἐν ὠσὶ σκώληκας, ὁ χυλὸς
20 τῆς πόας ἀναιρεῖ διὰ τὴν πικρότητα. — Καρδάμου τὸ σπέρμα καυ-
σλικῆς μετέχει δυνάμεως, ὥσπερ τὸ νᾶπυ, καὶ διὰ τοῦτο ἰσχιάδας καὶ
κεφαλαίας καὶ ὁτιοῦν ἄλλο τῶν δεομένων φοινίξεως ἐκθερμαίνουσιν
21 αὐτῷ, καθάπερ τῷ νάπυϊ. — Καρδάμωμον θερμῆς ἐσλι σφοδρῶς
22 δυνάμεως, ὡς καίειν ἐπιπλατλόμενον. Ἔχει δέ τι καὶ πικρότητος διὰ
ἣν τὰς ἕλμινθας ἀναιρεῖ καὶ τὰς ψώρας ἰσχυρῶς ἀπορρύπλει σὺν ὄξει.
23 — Κασία θερμαίνει καὶ ξηραίνει σφοδρῶς· ἔσλι δὲ καὶ λεπλομερὴς
ἱκανῶς καὶ δριμεῖα, βραχύ τι καὶ σλύφον ἔχει· τέμνει τε οὖν ἅμα καὶ
διαφορεῖ τὰ κατὰ τὸ σῶμα περιτλώματα καὶ ῥώμην ἐντίθησι τοῖς
24 ὀργάνοις. Ἐπιτήδειος δὲ καὶ πρὸς τὰς τῶν ἐπιμηνίων ἐπισχέσεις
ἐσλὶν, ὅτε ἂν ὑπὸ πλήθους τε ἅμα καὶ πάχους τῶν περιτλωμάτων,
25 αὐτάρκως κενοῦσθαι κωλύηται. — Καρύα τὸ δένδρον ἔχει μέν τι κἂν
τοῖς βλασλοῖς σλυπλικὸν, ἐναργὲς δὲ καὶ πλεῖσλον ἐν τοῖς τοῦ κα-
26 ρύου λέμμασι. Θλίβοντες γοῦν αὐτὰ καὶ τὸν χυλὸν ὁμοίως τῷ τῶν
μόρων καὶ τῷ τῶν βάτων ἕψοντες σὺν μέλιτι, σλομαχικῷ χρώ-
27 μεθα φαρμάκῳ. Τὸ δὲ λέπος τοῦ καρύου, τὸ ξηρὸν καυθὲν, λεπλο-

1. τι ἄλλο F. — 5. ἀλλὰ [καὶ] κατὰ γ. Gal.; ἀλλὰ κατὰ τὴν γ. MV; ἀλλὰ κατὰ γ. F. — 7. ἰσχίον] κατὰ μῆκος πληγὰς ὄντας F ora. — 9. δέ om. F. — 15. τοῦτο καὶ ἰσχ. MV. — 20-22. ἐσλι δὲ..... διαφορεῖ om. MV.

μερές τε γίνεται καὶ ξηραντικὸν καὶ ἄδηκτον φάρμακον. Τὸ δὲ 28
λεπΊοκάρυον ψυχρότερον καὶ αὐσΊηρότερόν ἐσΊι· τὰ δὲ ἄλλα παρα-
πλήσιον ὑπάρχει τῷ μεγάλῳ. — ΚασΊόριον θερμαίνει καὶ ξηραί- 29
νει, λεπΊομερές τε ἱκανῶς ὑπάρχει. ἜσΊι δὲ τοῖς μὲν διὰ πλῆθος 30
σπωμένοις ἢ τρέμουσιν ὠφελιμώτατον, τοῖς δὲ διὰ κένωσιν ἐναντιώ-
τατον, τοῖς δὲ εἴσω τοῦ σώματος λαμβανόμενον ὠφελεῖ ταῦτα, καὶ
κατὰ τοῦ δέρματος ἐπιτιθέμενον ἅμα σικυωνίῳ ἢ παλαιῷ ἐλαίῳ.
Τὰ δὲ πλείονος θερμότητος δεόμενα καὶ ἀνατρίβειν προσήκει διὰ 31
αὐτοῦ. Ὠφελεῖ δὲ καὶ εἴ τις αὐτὸ ἐπὶ ἀνθράκων θυμιῶν ἕλκῃ διὰ 32
τῆς εἰσπνοῆς καὶ μάλισΊα τὰ κατὰ τὸν πνεύμονα καὶ ἐγκέφαλον
ὑγρὰ καὶ ψυχρὰ πάθη. Τά γε μὴν ληθαργικὰ καὶ καταφορικὰ πάντα 33
πάθη μετὰ πυρετῶν, ἄμεινον οὐ τῶν εἰρημένων ἐλαίων τινὶ δεύον-
τας θεραπεύειν, ἀλλὰ [τὸ?] διὰ ῥοδίνου μᾶλλον ἐπιτιθέναι τῇ κεφαλῇ
καὶ τῷ αὐχένι. — Κέδρος θερμαίνει καὶ ξηραίνει σφοδρῶς· τὸ δὲ 34
αὐτῆς ἔλαιον σφοδρότερον, λεπΊομερὲς ἱκανῶς ὑπάρχον. Τὰς μὲν 35
ἁπαλὰς σάρκας ἑτοίμως καὶ ἀνωδύνως σήπει· τὰς δὲ σκληρὰς ἐν
χρόνῳ πλείονι· καὶ μάλισΊα μέντοι, τὰ τῶν νεκρῶν σώματα ξη-
ραίνει τε καὶ ἄσηπΊα φυλάτΊει. ΘαυμασΊὸν δὲ οὐδὲν εἰ καὶ φθεῖρας 36
καὶ κόνιδας καὶ ἀσκαρίδας καὶ τοὺς ἐν τοῖς ὠσὶ σκώληκας ἀναιρεῖν
πέφυκεν. Ἔμβρυα [τε] προσΊιθεμένη, τὰ μὲν ζῶντα κατακτείνειν, τὰ 37
δὲ νεκρὰ ἐκβάλλειν, [καθάπερ καὶ αὐτὸ τὸ κατὰ συνουσίαν σπέρμα]
περιαλειφομένη τῷ αἰδοίῳ· καὶ διὰ τοῦτο, ἀτόκιόν ἐσΊι φάρμακον
τοῖς οὕτω χρωμένοις, οὐδενὸς δεύτερον. Καὶ τοῖς τρήμασι δὲ τῶν 38
ὀδόντων ἐνσΊαχθεῖσα, τὰ μὲν ἀλγήματα πραΰνει, θραύει δὲ αὐ-
τούς. — Κενταυρίου τοῦ μεγάλου ἡ ῥίζα, δριμεῖά τε καὶ θερμὴ καὶ 39
σΊύφουσα μετὰ γεώδους σΊύψεώς ἐσΊι. Τῇ μὲν οὖν δριμύτητι, προ- 40
τρέπει καταμήνια, καὶ ἔμβρυα νεκρὰ κατασπᾷ, καὶ ζῶντα διαφθεί-
ρει τε καὶ ἐκβάλλει· τῇ δὲ σΊύψει κολλᾷ τε τραύματα, καὶ τοὺς
αἱμοπΊοϊκοὺς ὠφελεῖ. Δίδονται δὲ αὐτοῖς ὁλκαὶ β′, τοῖς μὲν πυρέτ- 41

4. ὑπάρχει] ὂν F. — 9. αὐτὸ κατὰ ἐπὶ MV. — 11-12. πάντα om. MV; πάθη om. M. — 18. τε καί] τὰ δέ F. — 19-21. ἀναίρει ἀλειφομένη MV. — 20. [τε] om. F. — 21. [καθάπερ..... σπέρμα] e Gal.; om. Codd.

42 τουσι, μετὰ ὕδατος, τοῖς δὲ ἀπυρέτοις μετὰ οἴνου. Ὠφελεῖ δὲ καὶ
ῥήγματα καὶ σπάσματα καὶ δυσπνοίας καὶ τὰς παλαιὰς βῆχας. —
43 Κενταύριον τὸ μικρὸν ἰσχυρῶς ξηραίνει χωρὶς δήξεως, τά τε οὖν
μεγάλα τραύματα κολλᾷ, καταπλασσόμενα πρόσφατα· ἔτι δὲ καὶ
44 τὰ παλαιὰ καὶ δυσκατούλωτα τῶν ἑλκῶν ἐπουλοῖ. Τὸ δὲ ἀφέψημα
τῆς πόας, ἐνιᾶσί τινες ἰσχιαδικοῖς, ὡς ἄγον χολώδη καὶ παχέα·
καὶ μὲν δὴ καὶ ὅταν ἐνεργήσῃ σφοδρῶς [ὡς] αἱματώδη κενοῦν, ὠφε-
45 λεῖ μᾶλλον. Ὁ δὲ χυλὸς αὐτοῦ παραπλησίας ὑπάρχων δυνάμεως,
τά τε ἄλλα τὰ προειρημένα δρᾷ καὶ ἔμβρυα προστιθέμενος κατασπᾷ
46 καὶ καταμήνια ἄγει. — Κηκὶς ἡ μὲν ὀμφακῖτις, στρυφνὸν ἱκανῶς
ἐστι φάρμακον, οὐσίας γεώδους τὸ πλεῖστον ἔχουσα, διὰ ἣν κατα-
ξηραίνει καὶ ἀποκρούεται ῥεύματα, συνάγει καὶ σφίγγει καὶ τονοῖ
τὰ ἄρρωστα μόρια, καὶ πᾶσι τοῖς ῥοώδεσι πάθεσι γενναίως ἀνθί-
47 σταται· ξηραίνει μὲν οὖν σφοδρῶς, ψύχει δὲ ἱκανῶς. Ἡ δὲ ἑτέρα
48 κηκὶς ἡ ξανθὴ καὶ χαύνη ξηραίνει μὲν καὶ αὐτὴ, ἀλλὰ ἧττον. Καυ-
θεῖσαι δὲ κηκίδες ἰσχαίμου δυνάμεως γίνονται· χρὴ δὲ διαπύρους
49 ἐπὶ ἀνθράκων ἐργασαμένας αὐτὰς ὄξει ἢ οἴνῳ σβεννύναι. — Κηρὸς
ἐν τῷ μεταξύ πώς ἐστι τῶν θερμαινόντων τε καὶ ψυχόντων ὑγραι-
νόντων τε καὶ ξηραινόντων, ὅθεν καὶ ὕλη τῶν ἄλλων ἐστὶ φαρμά-
50 κων. Αὐτὸς δὲ κατὰ ἑαυτὸν ἐκ τῶν πεπτικῶν ἂν εἴη τῶν ἀσθενῶν
51 ἔξωθεν ἐπιτιθέμενος. — Κισσὸς ἐξ ἐναντίων σύγκειται δυνάμεων·
στύφει τε γὰρ καὶ ψύχει καὶ δριμύς ἐστι καὶ θερμὸς, ὑδατώδους τε
οὐσίας μετέχει χλιαρᾶς ὁ χλωρός· οὗ τὰ φύλλα ἑψηθέντα ἐν οἴνῳ,
μεγάλων τραυμάτων ἐστὶ κολλητικὰ καὶ τῶν κακοήθων ἰατικά·
52 ἐπουλοῖ δὲ καὶ τὰς ἐκπυρώσεις. Σὺν ὄξει δὲ ἑψηθέντα τὰ φύλλα,
53 σπληνικοὺς ὠφελεῖ. Τὰ δὲ ἄνθη αὐτοῦ ἰσχυρότερά πώς ἐστιν, ὡς
54 μετὰ κηρωτῆς λειούμενα, τοῖς πυρικαύστοις ἁρμόττειν. Ὁ δὲ χυλός
ἐστι μὲν καὶ ἔρρινον, καὶ τὰ χρόνια δὲ τῶν ὤτων ἰᾶται ῥεύματα,
καὶ τῶν ἑλκῶν τὰ παλαιὰ κατά τε τὰ ὦτα καὶ τὰς ῥῖνας· ἐὰν δὲ
δριμύτερος φαίνηται, κατὰ μὲν τὴν χρῆσιν ῥοδίνῳ ἐλαίῳ μίγνυται·

4. ἔτι om. F. — 7. [ὡς] Gal.; om. Codd.

τὸ δὲ δάκρυον αὐτοῦ, φθεῖρας κτείνει καὶ τρίχας φιλοῖ. — Κολο- 55
κύνθη ὑγραίνει καὶ ψύχει ἱκανῶς, ὅθεν καὶ τῶν ξυσμάτων αὐτῆς ὁ
χυλὸς πρὸς ὠταλγίας τὰς κατὰ φλεγμονὴν ἁρμόττει, σὺν ῥοδίνῳ
χρωμένοις. Οὕτω δὲ καὶ ὅλη καταπλασσομένη, τὰς θερμὰς φλεγμο- 56
νὰς ἐμψύχει. — Κόμμι ξηραντικῆς τέ ἐστι καὶ ἐμπλαστικῆς δυνά- 57
μεως· καὶ δῆλον ὅτι καὶ τραχυτήτων ἰατική. — Κονία καυστικὴν 58
μὲν ἔχει θερμότητα, τῷ λεπτομερεῖ δὲ τῆς οὐσίας ἀνωδύνως καίει.
— Κόνυζα καὶ ἡ μείζων καὶ ἡ μικροτέρα, θερμαίνουσι καὶ ξηραί- 59
νουσι σφοδρῶς. Ἀφεψηθεῖσαι γοῦν ἐν ἐλαίῳ, τῶν κατὰ περίοδον 60
ῥιγῶν ἀλεξιτήριον γίνονται. Τὰ δὲ ἄνθη αὐτῶν σὺν τοῖς φύλλοις 61
τρίψαντές τινες σὺν οἴνῳ ποτίζουσιν ὑπὲρ τοῦ καταμήνια κινῆσαι
βιαίως καὶ ἔμβρυα ἐκβάλλειν. — Κορίανον ἢ κόριον ἐξ ἐναντίων 62
δυνάμεων σύγκειται, πολὺ μὲν ἔχουσα πικρᾶς οὐσίας, ἥτις λεπτο-
μερής ἐστι γεώδης, οὐκ ὀλίγον δὲ καὶ ὑδατώδους ὑγρότητος χλια-
ρᾶς κατὰ δύναμιν. Ἔχει δέ τι καὶ στύψεως ὀλίγον, ἐξ ὧν αὐτῶν 63
ἐνεργεῖ ποικίλως. — Κόπροι αἰγῶν· σπύραθοι δὲ ἰδίως ὀνομά- 64
ζονται δριμείας καὶ διαφορητικῆς οὖσαι δυνάμεως. Τοῖς σκιῤῥουμέ- 65
νοις ὄγκοις ἁρμόττουσιν, οὐκ ἐπὶ σπληνὸς μόνον, ἀλλὰ καὶ ἐπὶ
ἄλλων μερῶν· ἔγωγε οὖν ἐπὶ γόνατος ἔχοντος ὄγκον χρόνιον,
ἐχρησάμην αὐταῖς διὰ ὀξυκράτου, καταπλάττεσθαι κελεύσας ἀλεύ-
ρων κριθίνων ἐπεμβαλλομένων· καὶ θαυμαστῶς ὁ ἄνθρωπος ὤνητο.
Καὶ κατὰ ἄλλων δὲ μορίων οὗτος ὁ τρόπος ὠφελιμώτατος· δριμύ- 66
τερον δέ ἐστιν, ἢ ὥστε γυναῖκας ἀστείας ἢ παιδία θεραπεύειν, ἢ
ὅλως τοὺς μαλακοσάρκους. Καὶ μέντοι καυθεῖσα λεπτομερεστέρα 67
μὲν, οὐ μὴν δριμυτέρα σαφῶς γίνεται· διὸ καὶ πρὸς ἀλωπεκίας
ἁρμόττει καὶ πάντα ὅσα ῥυπτόντων δεῖται φαρμάκων, οἷον λέπρας
τε καὶ λειχῆνας καὶ ψώρας, ὅσα τε ἄλλα τοιαῦτα. Τῶν δὲ βοῶν αἱ 68

1-2. κολοκύνθη] Πρὸς τὸ μὴ γίνεσθαι πολιάς. Λαβὼν κολόκυνθαν ἀγρίαν τρύπησον καὶ πλήρωσον αὐτὴν δαφνελαίου, καὶ πρόσβαλε ὑοσκυάμου· ἀρσενικοῦ, εἶτα ἄφες ἡμέραν μίαν, καὶ ἄλειψον χρησίμως ἅπαξ τοῦ ἐνιαυτοῦ· κατὰ δὲ τρίχας (voc. eras.). Λάδανον καὶ σχοινέλαιον ἄλειφε F in ora. — 5. τέ om. F. — 12. Κερίανον] Κολίανδρον F in ora. — 23. παῖδας MV.

κόπροι ξηραντικῆς δυνάμεώς εἰσιν· ἔχουσι δὲ καὶ τῆς ἑλκτικῆς ὡς
69 δηλοῦσιν ὠφελοῦσαι τὰ τῶν μελιττῶν τε καὶ σφηκῶν νύγματα. Καὶ
70 τοὺς ὑδερικοὺς δέ τις καταχρίων ἐν ἡλίῳ κατέκλινε. Τῶν νομάδων
δὲ περιστερῶν τῇ κόπρῳ ὡς θερμαίνοντι φαρμάκῳ συνεχῶς εἰς
πολλὰ χρώμεθα μετὰ καρδάμου σπέρματος ἀντὶ νάπυος, ἐπὶ τῶν
71 φοινιγμοῦ δεομένων. Τῇ δὲ τῶν ἀλεκτορίδων χρῶνταί τινες ἐπὶ τῶν
ὑπὸ μυκητῶν ἐδωδῆς πνιγομένων· καὶ ἐμοῦσιν οἱ λαβόντες φλεγμα-
τώδη παχύτατον χυμὸν, ἐπὶ ᾧ τελείως παύονται τοῦ συμπτώμα-
72 τος. Δεῖ δὲ ἐπιπάττεσθαι λελειωμένην αὐτὴν κυάθοις τρισὶν ἢ τέτ-
73 ταρσιν ὀξυκράτου τε καὶ ὀξυμέλιτος. Ἔστι δὲ τῆς τῶν περιστερῶν
74 ἧττον ἡ κόπρος αὕτη θερμή. Ἡ δὲ τῶν κροκοδείλων τῶν χερ-
σαίων κόπρος, ῥυπτικήν τε καὶ ξηραντικὴν δύναμιν ἔχει ὡς καὶ
75 τῶν ψαθρῶν ὅταν ὄρυζαν μόνην ἐσθίωσιν. Ἡ γοῦν τῶν κροκοδείλων
κόπρος ὥσπερ τὴν ἔφηλιν ἀπορρύπτειν πέφυκεν, οὕτω καὶ ἀλφοὺς
76 καὶ λειχῆνας. — Κόστος βραχείας μὲν πάνυ τῆς πικρᾶς, πλείστης
δὲ τῆς δριμείας καὶ θερμῆς μετέχει ποιότητος, ὡς ἤδη καὶ ἑλκοῦν·
διὸ δὲ ἔξωθεν ἀνατρίβουσιν αὐτῷ μετὰ ἐλαίου τὸ σῶμα πᾶν πρὸ τῆς
εἰσβολῆς ἐπὶ τῶν κατὰ περίοδον ῥιγούντων· οὕτω δὲ κἀπὶ τῶν
παραλελυμένων τε καὶ ἰσχιαδικῶν, καὶ ὅλως ἐπὶ ὧν ἤτοι τι θερ-
μῆναι πρόκειται μόριον ἢ ἐκ τοῦ βάθους εἰς τὴν ἐπιφάνειαν ἑλκῦ-
77 σαί τινα χυμόν. Ἔστι δὲ καὶ οὐρητικὸς καὶ ἐμμήνων ἀγωγὸν καὶ
πρὸς ῥήγματα καὶ σπάσματα καὶ πόνους πλευρῶν ἁρμόττει, καὶ
πλατείας ἕλμινθας ἀναιρεῖ, καὶ πρὸς ἐφήλεις αὐτῷ χρῶνται μετὰ
78 ὕδατος ἢ μέλιτος. Ἐνυπάρχει δὲ αὐτῷ τι φυσώδους ὑγρότητος διὰ
79 ἣν καὶ πρὸς ἀφροδίσια παρορμᾷ μετὰ οἰνομέλιτος. — Κοτυληδὼν
μικτῆς ἐστι δυνάμεως ὑγρᾶς ὑποψύχρου καί τινος ἀμυδρᾶς στυφού-
σης καὶ σὺν αὐτῇ βραχείας πικρᾶς, ὅθεν ἐμψύχει καὶ ἀποκρούεται
καὶ ῥύπτει καὶ διαφορεῖ· φλεγμονάς τε οὖν τὰς ἐρυσιπελατώδεις
καὶ ἐρυσιπέλατα φλεγμονώδη θεραπεύει καὶ κατὰ στομάχου καυ-
80 σουμένου χρήσιμον ἱκανῶς ἐστιν ἐπίπλασμα. — Κράμβη ξηραντι-

1. καί om. MV. — 2. δήγματα MV. — 6. χρ. δέ τινες MV. — 8. ᾧ τε λεπτύνονται τοῦ F. — 19-20. ἤτοι θερμ. πρόκ. τι μόριον M. — 24. Ὑπάρχει V.

κῆς ἐστι δυνάμεως, οὐ μὴν ἤδη γέ πως καὶ δριμείας ἐναργῶς, ἀλλὰ
ὥστε καὶ τραύματα κολλᾶν καὶ τὰ κακοήθη τῶν ἑλκῶν ἰᾶσθαι καὶ
φλεγμονὰς τὰς ἤδη σκληρυνομένας τε καὶ δυσλύτους καὶ τῶν ἐρυ-
σιπελάτων τὰ τοιαῦτα καὶ ἕρπητας. Ἔχει δέ τι καὶ ῥυπτικὸν ἐν ἑαυτῇ 81
κατὰ ὃ καὶ λέπρας θεραπεύει. Τὸ δὲ σπέρμα πινόμενον ἕλμινθας 82
ἀναιρεῖ, καὶ ἐφήλεις τε καὶ φακοὺς ὀνίνησιν. Οἱ δὲ καυλοὶ τῆς 83
κράμβης, καυθέντες ἰσχυρῶς, ξηραίνουσαν ποιοῦσι τέφραν, ὡς ἤδη
τι, καὶ τῆς καυστικῆς μετέχειν δυνάμεως· κατὰ τοῦτο οὖν αὐτῇ καὶ
μιγνύντες στέαρ παλαιὸν, εἴς τε τὰ τῶν πλευρῶν ἀλγήματα χρῶνται,
καὶ εἴ πού τι τοιοῦτον ἕτερον εἴη· διαφορητικὸν γὰρ ἰσχυρῶς ἀποτε-
λεῖ τὸ φάρμακον. — Κριθαὶ ξηραίνουσι καὶ ψύχουσι μετρίως, ἔχουσι 84
δέ τι καὶ ῥυπτικὸν ὀλίγον. Τὰ δὲ ἄλφιτα πολὺ τῶν κριθῶν ἐστι 85
ξηραντικώτερα. — Κρίνου τὸ ἄνθος λεπτομερές ἐστι. Τὸ δὲ ἐξ αὐ- 86-87
τοῦ ἔλαιον διαφορητικῆς τε ἀδήκτου καὶ μαλακτικῆς ἐστι δυνάμεως,
καὶ ταῖς τῆς μήτρας σκληρότησιν ἐπιτήδειον. Καὶ ἡ ῥίζα δὲ καὶ τὰ 88
φύλλα κατὰ ἑαυτὰ λειούμενα ξηραίνει καὶ ῥύπτει καὶ διαφορεῖ με-
τρίως· ἐπὶ γοῦν τῶν κατακαυμάτων ἁρμόττει· τὴν μὲν οὖν ῥίζαν
ὀπτήσαντες, εἶτα ἅμα ῥοδίνῳ λειώσαντες, ἐπιτιθέασι τοῖς κατα-
καύμασι μέχρι συνουλώσεως· ἔστι γὰρ καὶ ἄλλως ἁπάντων ἑλκῶν
εἰς ἐπούλωσιν ἀγαθὸν φάρμακον. Οὐ μὴν ἀλλὰ καὶ ὑστέρας μαλάτ- 89
τει καὶ καταμήνια προκαλεῖται. Τὰ δὲ φύλλα προαφέψοντες ἐπι- 90
τιθέασι καὶ αὐτὰ μέχρι κατουλώσεως, οὐ τοῖς κατακαύμασι μόνον,
ἀλλὰ καὶ τοῖς ἕλκεσιν. Εἰ δέ τις τὸν χυλὸν τῶν φύλλων ἑψήσας 91
σὺν ὄξει καὶ μέλιτι πλείονα τὸν χυλὸν ἑκάστου βαλὼν, εὐδόκιμον
ἕξει φάρμακον εἰς πάντα τὰ ξηραίνεσθαι σφοδρῶς δεόμενα, χωρὶς
τοῦ δάκνεσθαι, καθάπερ ὅσα τραύματα μεγάλα καὶ μάλιστα κατὰ
τὰς κεφαλὰς γίνεται τῶν μυῶν, ὅσα τε πλαδαρὰ καὶ χρόνια καὶ
δυσεπούλωτα τῶν ἑλκῶν ἐστιν. — Κρόκος θερμαίνει μὲν ἱκανῶς, 92
ξηραίνει δὲ μετρίως, καὶ διὰ τοῦτο καὶ πεπτικὸν ἔχει τι, συντελού-
σης εἰς τοῦτο καὶ τῆς βραχείας στύψεως. — Κρόμμυον σφοδρὰ 93

19. *καί* om. MV. — 30. *σφοδρότατον* MV.

θερμαίνει, παχυμεροῦς οὐσίας ὄν, ὅθεν καὶ τὰς αἱμοῤῥοΐδας ἀνα-
στομοῖ προστιθέμενον, καὶ σὺν ὄξει καταχριόμενον, ἐν ἡλίῳ τοὺς
ἀλφοὺς ἀποῤῥύπτει, καὶ παρατριβόμενον ἀλωπεκίας θᾶττον ἀλκυο-
94 νίου παρορμᾷ τὰς τρίχας. — Κύαμος τῆς μέσης ἐγγυτάτω κρά-
σεώς ἐστιν· μετέχει δέ τινος ἐπὶ ὀλίγον καὶ ῥυπτικῆς δυνάμεως καὶ
95 στυπτικῆς. Καὶ ἔξωθεν ἐπιτιθέμενος, ἀλύπως ξηραίνει· ἐπὶ μὲν
ποδαγρικῶν, διὰ ὕδατος ἑψόμενος, εἶτα μιγνύμενος ὑείῳ στέατι,
ἐπὶ δὲ τῶν κατὰ τὰ νεῦρα θλασμάτων καὶ ἑλκῶν διὰ ὀξυμέλιτος
τὸ ἄλευρον ἐπιτιθέμενον, ἐπὶ δὲ τῶν ἤδη φλεγμαινόντων ἐκ πληγῆς
96 σὺν ἀλφίτοις. Καὶ διδύμων δέ ἐστι καὶ μαστῶν ἀγαθὸν κατάπλασμα·
φιλεῖ γὰρ ταῦτα τὰ μόρια μετρίως ψύχεσθαι φλεγμαίνοντα, καὶ
μάλιστα ὅταν ἐκ γάλακτος τυρωθέντος οἱ μαστοὶ φλεγμαίνωσι· καὶ
γὰρ οὖν καὶ τὸ γάλα σβέννυται πρὸς τοῦ τοιούτου καταπλάσματος,
ὥσπερ καὶ τὸ τῶν παίδων ἐφηβαῖον ἐπιπλασσόμενον ἀλεύρῳ
97 κυαμίνῳ μέχρι πλείονος, ἄνηβον διαμένει. — Κυμίνου τὸ σπέρμα
θερμαντικῆς ἐστι δυνάμεως σφοδρῶς, ἄφυσον, διουρητικόν. —
98 Κυπαρίσσου τὰ φύλλα καὶ οἱ βλαστοὶ καὶ τὰ σφαιρία, τὰ νέα καὶ
μαλακὰ, μεγάλων τραυμάτων ἐν σκληροῖς σώμασίν ἐστι κολλητικά.
99 Ἐξ οὗ δῆλον ὡς ξηραντικῆς ἐστι δυνάμεως, οὐδὲν ἐπιφανῶς ἐχούσης
δριμύ· πλεῖστον δὲ ἔχει τὸ πικρὸν καὶ πολὺ πλεῖον ἔτι τὸ στρυφνόν.
100 Διὰ τοῦτο τὰς κατὰ βάθος ὑγρότητας, ἐν ταῖς πλαδαραῖς καὶ σηπε-
δονώδεσι διαθέσεσιν ἀλύπως τε ἅμα καὶ ἀσφαλῶς ἐκβόσκεται ἑτέρας
101 οὐκ ἐπισπώμενα. Καὶ τοὺς ἐντεροκηλικοὺς δὲ ὠφελεῖ ξηραίνοντα καὶ
τόνον ἐντιθέντα τοῖς διὰ ὑγρότητα χαλαροῖς σώμασιν, ὡς ἂν τῆς στύ-
102 φεως εἰς βάθος διαδυομένης διὰ τὴν μεμιγμένην θερμότητα. — Κυ-
πέρου χρήσιμα μάλιστά εἰσιν αἱ ῥίζαι θερμαίνουσαι καὶ ξηραίνου-
σαι χωρὶς δήξεως ὅθεν καὶ διὰ ὑγρότητα πολλὴν ἕλκη δυσεπούλωτα
θαυμαστῶς ὀνίνησιν· ἔχουσι γάρ τι στυπτικὸν, καὶ διὰ τοῦτο καὶ
103 τοῖς ἐν στόμασιν ἕλκεσίν εἰσιν ἐπιτήδειοι. Καὶ μὴν καὶ τμητικήν
τινα δύναμιν ἔχουσι, διὰ ἣν καὶ λιθιῶσιν ἁρμόττουσι καὶ οὖρα καὶ

24-27. χαλαροῖς σώμασι..... καὶ διὰ ὑγρότητα om. MV.

καταμήνια κινοῦσιν. — Κυκλάμινος ῥύπ1ει καὶ τέμνει καὶ διαφο- 104
ρεῖ καὶ ἀνασ1ομοῖ καὶ ἐπισπᾶται· ὁ γοῦν χυλὸς αὐτῆς αἱμοῤῥοΐδας
ἀνασ1ομοῖ καὶ προκαλεῖται βιαίως εἰς ἀπόπατον ἐν κροκύδι προσ-
τιθέμενος. Σφοδρὰ δὲ οὕτως ἐσ1ὶν ἡ δύναμις αὐτοῦ, ὥσ1ε καὶ ἐπὶ 105
τοῦ ἐπιγασ1ρίου καταχριόμενος, κοιλίαν ὑπάγει καὶ ἔμϐρυα δια-
φθείρει ἐν πεσσῷ προσ1ιθέμενος. Ἡ δὲ ῥίζα τοῦ χυλοῦ μέν ἐσ1ιν 106
ἀσθενεσ1έρα, σφοδρὰ δέ ἐσ1ι καὶ αὐτὴ, καὶ γὰρ ἔμμηνα κινεῖ πι-
νομένη τε καὶ προσ1ιθεμένη, καὶ ἰκτεριῶντας ὀνίνησιν, οὐ μόνον
ἐκκαθαίρουσα τὸ σπλάγχνον, ἀλλὰ καὶ τὴν ἐν ὅλῳ τῷ σώματι χο-
λὴν ἐκκρίνουσα διὰ ἱδρώτων. Χρὴ δὲ διδόναι τὸ πινόμενον αὐτῆς 107
πλῆθος δραχμὰς τρεῖς μετὰ γλυκέος ἢ μελικράτου. Ῥύπ1ει δὲ καὶ τὸ 108
δέρμα καὶ ἀλωπεκίας καὶ τὰς ἐφηλίδας, ἅπαντά τε τὰ ἐξανθήματα
θεραπεύει. Ὀνίνησι δὲ καὶ τοὺς σκληροὺς σπλῆνας, ἐπιπλατ1ομένη 109
πρόσφατός τε καὶ ξηρά. — Κυτίσου τὰ φύλλα διαφορητικῆς ἐσ1ι 110
δυνάμεως, ἐπιμεμιγμένης ὑδατώδους χλιαρᾶς. — Κώνου καρπὸς, ὃν 111
δὴ καὶ κόκκαλον ὀνομάζουσιν, ὅλος μὲν χλωρὸς, ἔχει δέ τι μετὰ ὑγρό-
τητος πικρὸν καὶ δριμὺ, καὶ διὰ τοῦτο καὶ τοῖς ἐμπύοις, ὅσοι τε
ἄλλοι δέονται, τὰ κατὰ θώρακα καὶ πνεύμονα ῥαδίως ἀναπ1ύειν,
ἐπιτήδειός ἐσ1ιν. Ὁ δὲ ἐδώδιμος ἐξ αὐτοῦ καρπὸς ἐκλεαίνει τραχύ- 112
τητα ἐν ὕδατι βρεχθείς.

Λ

Λάπαθον διαφορητικῆς μετρίως ἐσ1ι δυνάμεως· τὸ δὲ ὀξυλάπα- 1
θον μικτῆς· ἅμα γὰρ τῇ διαφορητικῇ καὶ ἀποκρουσ1ικῆς τι μετέ-
χει. Τὸ δὲ σπέρμα αὐτῶν ἔχει τι σαφῶς σ1υπ1ικὸν, ὡς δυσεντερίας 2
καὶ διαῤῥοίας ἰᾶσθαι καὶ μάλισ1α τὸ τοῦ ὀξυλαπάθου. — Λευκοΐου 3
καὶ σύμπας μὲν ὁ θάμνος, ῥυπ1ικῆς ἐσ1ι καὶ λεπ1ομεροῦς δυνά-
μεως· ἐπὶ μᾶλλον δὲ αὐτῆς μετέχει τὰ ἄνθη, καὶ τούτων τὰ ξηρό-
τερα μᾶλλον, ὥσ1ε καὶ καταμήνια τὸ ἀφέψημα αὐτῶν προτρέπει,

10. διδον.] εἰδέναι F. — 11. δραχμὰς τρεῖς] κύαθον F. — 19. Ὁ δὲ δίδυμος F.

καὶ χόρια καὶ ἔμϐρυα τεθνεῶτα προκαλεῖται· καὶ εἰ ποθείη δὲ,
4 φθόριόν ἐστι φάρμακον. Καὶ εἴ τις αὐτοῦ τὸ σφοδρὸν τῆς δυνάμεως
ὕδατος ἐπιμιξίᾳ πολλοῦ πραΰνειεν, ἕξει [καὶ πρὸς] φλεγμονὴν ἀγα-
θὸν φάρμακον· οὕτως οὖν τὸ ἀφέψημα αὐτοῦ τὰς ἐν μήτρᾳ φλεγμονὰς
5 ἰᾶται προσαντλούμενον, καὶ μάλιστα ὅσαι σκιῤῥώδεις εἰσίν. Ὁ δὲ
καρπὸς τῆς αὐτῆς ὢν δυνάμεως πινόμενος ὅσον ∠ϐ' ἢ προστιθέ-
μενος, καταμήνιά τε καὶ ἔμϐρυα τὰ μὲν ζῶντα διαφθείρει, τὰ δὲ
6 νεκρὰ ἐκϐάλλει. — Λιϐανωτὸς θερμαίνει μὲν ἱκανῶς, ξηραίνει δὲ
7 μετρίως· ἔχει δέ τι καὶ ὑπόστυφον ὀλίγον, καὶ μᾶλλον ὁ λευκός. Ὁ
δὲ φλοιὸς αὐτοῦ, τὴν στυπτικὴν δύναμιν ἐναργῆ κέκτηται, διὸ καὶ
ξηραίνει γενναίως· ἔστι δὲ καὶ παχυμερὴς ἥκιστα δριμύτητος μετ-
8 έχων. — Λιϐανωτίδες αἱ τρεῖς ὁμοίας εἰσὶ δυνάμεως, μαλακτικῆς,
9 διαφορητικῆς, ῥυπτικῆς τε καὶ τμητικῆς. Ὁ δὲ χυλὸς αὐτῶν τῆς
ῥίζης καὶ τῆς πόας μέλιτι μιγνύμενος, ἀμϐλυωπίας, ὅσαι διὰ πά-
10 χος ὑγρῶν γίνονται, θεραπεύει. — Λίθος αἱματίτης τοσοῦτον ψύ-
ξεως μετέχει, ὅσον καὶ στύψεως· μόνῳ γοῦν ἐχρησάμην αὐτῷ
11 τραχέων γεγονότων βλεφάρων. Εἰ μὲν ἅμα φλεγμονῇ τοιαῦτα εἴη
γεγονότα, διὰ ὠοῦ τὴν ἄνεσιν ποιούμενος, ἢ μᾶλλον ἔτι διὰ τή-
12 λεως ἀφεψήματος· εἰ δὲ χωρὶς φλεγμονῆς διὰ ὕδατος. Ἄρχου δὲ
ἀπὸ μετρίως ὑγροῦ διὰ τῆς μήλης ἐγχέων· ὅταν δὲ φέρῃ τὴν
δύναμιν αὐτοῦ ὁ θεραπευόμενος, παχύτερον ἀεὶ καὶ μᾶλλον ἐργά-
ζου, καὶ τελευτῶν οὕτω παχὺ ποιήσεις, ὡς διὰ μήλης πυρῆνος
13 ὑπαλείφειν, κατὰ ὑποϐολὴν [ἢ] ἐκτροπὴν τοῦ βλεφάρου. Ὁ δὲ αὐ-
τὸς λίθος ὁμοίως ἐπὶ ἀκόνης ἀποτριϐόμενος, αἵματος πτύσεσιν ἁρ-
14 μόζει καὶ πᾶσιν ἕλκεσιν. Ξηρὸς δὲ λειωθεὶς ὡς χνοώδης γενέσθαι,
15 καταστέλλει τὰ ὑπερσαρκοῦντα. Καὶ αὐτὰ δὲ τὰ κατὰ τοὺς ὀφθαλ-
μοὺς ἕλκη συνουλοῖ· μόνος αὐτὸς ἀποτριϐόμενος ὡς εἶπον ἐγχυμα-
16 τιζόμενος, ἢ ὑπαλειφόμενος. — Λίθοι ἐν τοῖς σπόγγοις θρυπτικῆς·

3. [καὶ πρὸς] e Gal.; om. Codd. — 6. αὐτῆς ὢν Gal.; αὐτῶν F; αὐτῆς MV. — Ib. ∠α' MV. — 7. μέν] τῶν MV. — 10. δύν. ἔχει ἐναρ. F. — 13. τε om. F. — 17. Εἰ μὲν οὖν ἅμα MV. — Ib. τοιαῦτα Gal.; ταῦτα Codd. — 18. δια ὠοῦ Gal.; διὸ οὐ F; δι' αὐτοῦ (ora διὰ οὖ) M. — 19. χωρίς om. F. — 23. [ἢ] Gal.; om. Codd.

δυνάμεώς εἰσιν ὥστε τοὺς ἐν κύστει λίθους θρύπτειν. — Λιθάργυ- 17
ρος ξηραίνει μὲν ὡς καὶ τὰ ἄλλα πάντα τὰ μεταλλικὰ καὶ γεώδη
καὶ λιθώδη· μετριώτατά γε μὴν τοῦτο ποιεῖ, καὶ κατὰ τὰς ἄλλας δὲ
ποιότητας καὶ δυνάμεις ἐν τῷ μέσῳ πώς ἐστιν, οὔτε θερμαίνουσα
σαφῶς, οὔτε ψύχουσα, καὶ τοῦ ῥύπτειν τε καὶ στύφειν μετρίως
μετέχει, διὸ καὶ ὡς ὕλῃ χρώμεθα αὐτῇ, μιγνῦντες τοῖς ἰσχυρὰν
ἔχουσι δύναμιν ἢ δάκνουσαν ἢ στύφουσαν ἤ τι ἄλλο ποιοῦσαν. —
Λινόσπερμον θερμαίνει μὲν μετρίως, ὑγρότητος δὲ καὶ ξηρότητος 18
μέσον ἐστί. — Λίτρον ξηραίνει μὲν καὶ διαφορεῖ καὶ εἰ εἴσω τοῦ 19
σώματος ληφθείη, τέμνει καὶ λεπτύνει τοὺς παχεῖς καὶ γλίσχρους
χυμοὺς πολὺ μᾶλλον τῶν ἁλῶν. Ἀφρόνιτρον δὲ, μὴ μεγάλης ἀνάγκης 20
οὔσης, οὐδὲ καταπίνει τις, ὡς ἂν κακοστόμαχον ὄν· ἐπὶ γοῦν
μυκήτων ἐχρῆτό τις αὐτῷ ἄγροικος, καὶ εὐδοκίμει. Λίτρῳ δὲ κε- 21
καυμένῳ καὶ ἀκαύστῳ καὶ ἡμεῖς ἐπὶ τῶν τοιούτων χρώμεθα. —
Λειχὴν ὁ ἐπὶ τῶν πετρῶν ῥυπτικῆς τε ἅμα καὶ μετρίως ψυκτικῆς 22
καὶ στυφούσης δυνάμεως, καὶ ξηραντικῆς ἐστιν· οὐδὲν οὖν θαυμα-
στὸν ἀφλέγμαντον ὑπάρχειν αὐτόν. — Λωτὸς ἥμερος, ὃν καὶ τρί- 23
φυλλον ὀνομάζουσι, στυπτικῆς μετρίως ἐστὶ δυνάμεως καὶ ξηραν-
τικῆς, μέσος ὢν κατὰ τὸ θερμαίνειν καὶ ψύχειν. — Λωτὸς τὸ 24
δένδρον στύφει μὲν μετρίως· ἔστι δὲ λεπτομερὲς καὶ ξηραντικόν.
Τὰ γοῦν ῥινήματα τῶν ξύλων αὐτοῦ, πρός τε ῥοῦν γυναικεῖον ἁρ- 25
μόττει καὶ δυσεντερίας καὶ κοιλιακούς. Ἐναφέψεται δὲ ποτὲ μὲν 26
ὕδατι, ποτὲ δὲ οἴνῳ, ὡς ἂν ἡ χρεία κελεύῃ, καὶ οὐκ ἐνίεται δὲ μόνον,
ἀλλὰ καὶ πίνεται. Καὶ μὴν καὶ τὰς ῥεούσας τρίχας ἐπέχει. — 27
Λύκιον ξηραντικῆς ἐστι δυνάμεως, ἐξ ἑτερογενῶν οὐσιῶν συγκεί- 28
μενον, τῆς μὲν ἑτέρας λεπτομεροῦς τε καὶ διαφορητικῆς ἱκα-
νῶς καὶ θερμῆς, τῆς δὲ ἑτέρας γεώδους ψυχρᾶς ὀλίγης, ἐξ ἧς καὶ
τὸ στύφειν ἔχει. Διὸ καὶ πρὸς διαφέροντα πάθη χρῶνται τῷ φαρ- 29
μάκῳ, ὡς ῥυπτικῷ μὲν, ὅταν ὡς ἀποκαθαῖρον αὐτὸ τὰ ἐπισκοτοῦντα

1. ὥστε τούς Gal.; ὡς τούς F; om. MV. — Ib. ῥύπτει M; ῥύπτειν V. — 7. τι om. MV. — 8. μέν om. F. — Ib. ξηρότητος] θερμότητος F. — 23. καί om. MV. — 25. οὐσῶν M; ὀστῶν F.

ταῖς κόραις παραλαμβάνουσιν, ὡς συνακτικῷ δὲ κοιλιακοῖς τε καὶ
30 δυσεντερικοῖς καὶ ῥόῳ γυναικείῳ προσφέροντες. Χρῶνται δὲ αὐτῷ
καὶ πρὸς ὑπώπια, καὶ πρὸς τὰς ἐν ἕδρᾳ καὶ στόματι φλεγμονὰς
καὶ ἑλκώσεις, ἕρπητάς τε καὶ σηπεδόνας καὶ τὰ κακοήθη τῶν ἑλκῶν
31 καὶ ὦτα πυοῤῥοῦντα καὶ παρατρίμματα καὶ παρωνυχίας. Τὸ δὲ
Ἰνδικὸν λύκιον ἰσχυρότερόν ἐστιν εἰς πάντα.

M

1 Μαλάχη ἡ μὲν ἀγρία[*] διαφορητικῆς καὶ μαλακτικῆς ἀτρέμα μετ-
2 έχει δυνάμεως· ἡ δὲ κηπευομένη ἀσθενεστέρα ταύτης. Ὁ δὲ καρ-
πὸς αὐτῶν εἰς τοσοῦτον ἰσχυρότερός ἐστιν, εἰς ὅσον καὶ ξηρότερος,
ἡ δὲ δενδρομαλάχη καὶ ἀλθαία καλουμένη τοῦ μὲν αὐτοῦ γένους
3 ἐστὶ, διαφορητικωτέρα δὲ τῶν εἰρημένων. — Μανδραγόρας ψύχει
μὲν σφοδρῶς, μετέχει δέ τινος καὶ θερμότητος κατά γε τὰ μῆλα,
καὶ ὑγρότητος, ὅθεν καὶ κωματώδη τὴν δύναμίν ἐστι ταῦτα· τῆς
ῥίζης δὲ ὁ φλοιὸς ἰσχυρότατος ὢν οὐ ψύχει μόνον, ἀλλὰ καὶ ξη-
4 ραίνει, τὸ δὲ ἔνδον ἀσθενὲς ὑπάρχει. — Μάραθρον θερμαίνει μὲν
σφοδρῶς, ξηραίνει δὲ μετρίως· διὰ τοῦτο καὶ γάλακτος γεννητικόν
5 ἐστιν, οὐκ ἀγεννῶς. Ἔστι δὲ καὶ οὐρητικὸν καὶ καταμηνίων ἀγωγόν.
6 — Μαστίχη σύνθετος ἐξ ἐναντίων ἐστὶ δυνάμεων, στυπτικῆς [καὶ]
μαλακτικῆς· διὸ στομάχου καὶ κοιλίας καὶ ἐντέρων καὶ ἥπατος
7 φλεγμοναῖς ἁρμόττει, θερμαίνουσα καὶ ξηραίνουσα ἱκανῶς. — Με-
λάνθιον θερμαίνει μὲν καὶ ξηραίνει σφοδρῶς, λεπτομερὲς ὄν, οὕτω
γοῦν καὶ τοὺς κατάῤῥους ἰᾶται, θερμὸν ἐν ὀθονίῳ προσφερόμενον,
8 ὡς ὀσμᾶσθαι συνεχῶς. Καὶ μὲν δὴ καὶ ἀφυσώτατόν ἐστι πινόμενον.
9 Ἀναιρεῖ δὲ καὶ ἕλμινθας, οὐ μόνον ἐσθιόμενον, ἀλλὰ καὶ κατὰ τῆς
10 γαστρὸς ἐπιτιθέμενον ἔξωθεν. Λέπρας δὲ καὶ ἥλους καὶ μυρμηκίας
ἐκβάλλει, καὶ καταμήνια προτρέπει, τὰ διὰ πάχος καὶ γλισχρό-
11 τητα χυμῶν ἐπισχημένα. — Μέλι θερμαίνει τε καὶ ξηραίνει ἱκα-

10. ἀλθαία] ἄλθη V; ἄνθη M. — 18. [καί] Gal.; om. Codd.

νῶς. Ἔσʼ͂ι δὲ ἁπλῆς ὡς ἔνι μάλισʼ͂α δυνάμεως τῆς φυσικῆς. Ἑψηθὲν 12-13
δὲ ἧτʼ͂ον γίνεται δριμὺ καὶ ῥυπʼ͂ικὸν, ὅθεν εἰς τὰς τῶν κόλπων αὐτῷ
κολλήσεις χρῶνται. — Μελίλωτον μικτῆς ἐσʼ͂ι δυνάμεως, ἔχει μὲν 14
γάρ τι καὶ ῥυπʼ͂ικὸν, ἀλλὰ καὶ διαφορεῖ καὶ συμπέτʼ͂ει· ϖλέον γὰρ
ἐν αὐτῷ τὸ τῆς θερμῆς οὐσίας ἐσʼ͂ὶν ἤπερ τὸ τῆς ψυχρᾶς. —
Μεσπίλων σʼ͂ρυφνὸς ἱκανῶς ἐσʼ͂ιν ὁ καρπὸς καὶ μόλις ἐδώδιμος, 15
ἐφεκʼ͂ικὸς ἰσχυρῶς γασʼ͂ρός. — Μήκων ϖᾶσα ψυκτικῆς ἐσʼ͂ι δυνά- 16
μεως· ἡ δὲ κηπευομένη μετρίως ὑπνώδης ἔχει τὸ σπέρμα καὶ
λευκόν. Ταῦτα ἄρα καὶ τοῖς ἄρτοις ἐπιπλάτʼ͂ουσιν αὐτὸ, καὶ σὺν 17
μέλιτι δεύσαντες ἐσθίουσι. Τῆς δὲ ἄλλης, ἧς ἀποῤῥεῖ τὸ ἄνθος, 18
ἰσχυρότερον ψύχει τὸ σπέρμα, ὥσʼ͂ε οὐκ ἄν τις αὐτῷ μόνῳ χρή-
σαιτο ἀλύπως, ὥσπερ τῆς κηπευομένης. — Μηλείας Περσικῆς τὰ 19
φύλλα καὶ οἱ βλασʼ͂οὶ τὴν ϖικρὰν ἔχουσιν ἐπικρατοῦσαν ϖοιό-
τητα· διὸ καὶ τὰς ἕλμινθας ἀποκτείνει ϖοθέντα, καὶ κατὰ τοῦ ὀμ-
φαλοῦ ἐπιτιθέντα· καὶ ὅλως διαφορητικόν ἐσʼ͂ι φάρμακον. Ὁ δὲ 20
καρπὸς αὐτοῦ ὑγρός ἐσʼ͂ι καὶ ψυχρός. — Μῆον θερμαίνει μὲν σφο- 21
δρῶς, ξηραίνει δὲ ἱκανῶς, διὸ οὖρά τε κινεῖ καὶ τὰ καταμήνια, κε-
φαλαλγὲς καὶ φυσῶδες. — Μόλυϐδος ὑγρασίαν ἔχει ϖλείσʼ͂ην ὑπὸ 22
ψύξεως ϖεπηγυῖαν· εἰ γοῦν τις θυίαν σκευάσας ἐκ μολύϐδου μετὰ
δοίδυκος μολυϐδίνου βαλὼν εἰς αὐτὴν ὀμφάκινον ἔλαιον ἢ ὕδωρ ἢ
ῥόδινον ἤ τι ἄλλο ὑγρὸν, τρίϐοι τῷ γινομένῳ χυλῷ χρῆσθαι εἰς τὰς
ἐν ἕδρᾳ μετὰ ἑλκῶν ἢ σʼ͂ολίδων ἀνεξασμένας φλεγμονάς, εἴς τε τὰς
ἐν αἰδοίοις καὶ ὄρχεσι καὶ τιτθοῖς βούλοιτο, ἄρισʼ͂ον ἕξει φάρμακον.
Ὁμοίως δὲ καὶ κατὰ τῶν ἄλλων φλεγμονῶν τῶν ἀρχομένων ὅσα τε 23
βουϐῶσιν ἢ ϖοσὶν ἢ τοῖς ἄλλοις ἄρθροις ἐγκατασκήπʼ͂ει καὶ μέντοι
καὶ τοῖς ἕλκεσι καὶ τοῖς κακοήθεσιν, ὥσʼ͂ε καὶ ϖρὸς τὰς καρκινώδη
χρησάμενος αὐτῷ θαυμάσεις τὸ φάρμακον. Εἰ δὲ θέλεις διὰ τα- 24
χέων ϖλεῖσʼ͂ον ἀθροῖσαι τοῦ μολύϐδου χυλὸν, ἐν ἡλίῳ ϖειρῶ τρί-
ϐειν, ἢ ὅλως ἐν ἀέρι θερμῷ. Πολύχρησʼ͂ον δὲ ἔσʼ͂αι σοι τὸ φάρμα- 25
κον, εἰ καὶ τῶν σʼ͂υπʼ͂ικῶν χυλῶν ἐναποτρίϐοις, οἷον ἀειζώου καὶ

2. ὅθεν καὶ εἰς MV. — 4. συμπίπʼ͂ει λαγγες F. — 25. ἐγκατασκήπʼ͂ει om. MV. — 17-18. κεφαλαλγές] καὶ φά- MV. — 27. βούλοιο MV.

κοτυληδόνος καὶ σέρεως καὶ θριδακίνης καὶ ψυλλίου καὶ ὄμφακος.
26 Λεπὶς δὲ μολύβδου λεπτὴ γενομένη καὶ καλῶς ἐπιδεθεῖσα κατὰ
27 γαγγλίου τελέως ἀφανίζει αὐτό. — Μορέας ὁ καρπὸς, ὁ μὲν πέπει-
ρος, ὑπάγει γασΊέρα, ὁ δὲ ἄωρος ξηρανθεὶς σΊεγνωτικὸν ἱκανῶς
γίνεται φάρμακον, ὥσΊε καὶ πρὸς δυσεντερικοὺς καὶ κοιλιακοὺς ἁρ-
28 μότΊειν· κόπΊεται δὲ καὶ τοῖς ὄψοις μίγνυται. Ὁ δὲ φλοιὸς τῆς ῥίζης
τοῦ δένδρου καθαρτικῆς μετέχει δυνάμεως μετά τινος πικρότητος,
29 ὡς καὶ πλατεῖαν ἕλμινθα ἀποκτείνειν. — Μυελὸς μαλακτικῆς τῶν
30 σκληρυνομένων καὶ σκιῤῥουμένων σωμάτων ἐσΊὶ δυνάμεως. Καλλί-
σΊου δὲ ἐπειράθην ἀεὶ τοῦ τῶν ἐλάφων, ἐφεξῆς δὲ τοῦ τῶν νέων
31 βοῶν. Ὁ δὲ τῶν τράγων καὶ ταύρων δριμύτερός ἐσΊι καὶ ξηραντι-
κώτερος, ὥσΊε οὐ δύναται διαλύειν σκληρότητας σκιῤῥώδεις. —
32 Μυῤῥίνη ἐξ ἐναντίων οὐσιῶν σύγκειται, ἐπικρατεῖ δὲ ἐν αὐτῷ τὸ
γεῶδες ψυχρόν· ἔχει δέ τι καὶ λεπΊομερὲς θερμὸν, ὅθεν ἰσχυρῶς
33 ξηραίνει. ἜσΊι δὲ καὶ τὰ φύλλα καὶ ὁ καρπὸς καὶ οἱ βλασΊοὶ καὶ ὁ
34 χυλὸς, οὐ πολλῷ τινι διαφέροντα κατὰ τὴν σΊύψιν. Ἡ μέντοι τῷ
σΊελέχει τε καὶ τοῖς κλάδοις αὐτῆς ἐπίφυσις ὀχθώδης ἣν ἔνιοι μυρ-
τίδα καλοῦσιν, εἰς ὅσον ἐσΊὶ ξηροτέρα τῶν εἰρημένων, εἰς τοσοῦ-
35 τον καὶ σΊύφει καὶ ξηραίνει σφοδρότερον. Ἐπιτίθενται δὲ αὐτὴν
ἔνιοι κόπΊοντες καὶ ἀναλαμβάνοντες οἴνῳ καὶ τροχίσκους ἀναπλάτ-
36 τοντες. ἜσΊι δὲ καὶ τὰ ξηρὰ φύλλα τῶν χλωρῶν ξηραντικώτερα.

N

1 Νάρδου σΊάχυς θερμαίνει μὲν μετρίως, ξηραίνει δὲ ἱκανῶς· σύγκειται δὲ ἐκ σΊυφούσης αὐτάρκους οὐσίας καὶ δριμείας θερμῆς οὐ πολλῆς, καί τινος ὑποπίκρου βραχείας· εὐλόγως οὖν πρὸς ἧπαρ καὶ σΊόμαχον ἁρμόττει, πινομένη τε καὶ ἔξωθεν ἐπιτιθεμένη καὶ οὖρα κινεῖ καὶ δήξεις ἰᾶται σΊομάχου, καὶ τὰ κατὰ γασΊέρα ῥεύματα ξηραίνει καὶ πρὸς τούτοις ἔτι τὰ κατὰ τὴν κεφαλὴν καὶ τὸν

17. φύλλοις κλάδοις E. — 26. τά om. MV. — 27. τόν om. MV.

θώρακα. Γενναιοτέρα δέ ἐσῖιν ἡ Ἰνδικὴ, μελαντέρα τῆς Συριακῆς 2
οὖσα. Ἡ δὲ Κελτικὴ παραπλησίας μὲν ἔσῖι δυνάμεως τῷ σῖάχυϊ, 3
οὐρητικωτέρα δέ. — Ναρκίσσου ἡ ῥίζα ξηραντικῆς ἐσῖι δυνάμεως, 4
ὡς κολλᾷν τραύματα μέγισῖα, μέχρι καὶ τῶν περὶ τοὺς τένοντας
διακοπῶν. Ἔχει δέ τι καὶ ῥυπῖικὸν καὶ ἐπισπασῖικόν. — Νυμφαίας 5
ἥ τε ῥίζα καὶ τὸ σπέρμα δύναμιν ἔχει ξηραντικὴν ἄδηκτον· ἐπέχει
τοιγαροῦν καὶ τὰ τῆς γασῖρὸς ῥεύματα καὶ τὸ σπέρμα τὸ κατὰ τοὺς
ὀνειρωγμοὺς καὶ ἄλλως ἀμετρότερον φερόμενον· ὀνίνησι δὲ καὶ
δυσεντερικούς. Ἡ δὲ τὴν λευκὴν ἔχουσα ῥίζαν σφοδροτέρας ἐσῖὶ 6
δυνάμεως, πίνεται δὲ [καὶ αὕτη, καὶ ἡ τὴν μέλαιναν ἔχουσα ῥίζαν]
ἐν οἴνῳ μέλανι αὐσῖηρῷ· μετέχουσι δὲ τῆς ῥυπῖικῆς δυνάμεως,
ὥσῖε καὶ ἀλφοὺς ἰῶνται δευόμεναι σὺν ὕδατι, ἀλωπεκίας δὲ, σὺν
ὑγρᾷ πίτῖῃ.

O

Ὄξος μικτῆς οὐσίας ἐσῖὶ θερμῆς καὶ ψυχρᾶς, ἀμφοῖν λεπῖομε- 1
ροῖν· ἐπικρατεῖ δὲ τῆς θερμῆς ἡ ψυχρά. Ξηραντικὸν δέ ἐσῖι σφο- 2
δρῶς ὅτε ἂν [γε] ἰσχυρὸν ὑπάρχῃ. — Ὀξυακάνθου ὁ καρπὸς οὐ 3
μόνον ἐσθιόμενος, ἀλλὰ καὶ πινόμενος, ἐφεκτικός ἐσῖιν ἁπάντων
ῥοώδων παθῶν. — Ὀποπάναξ μαλάτῖει καὶ διαφορεῖ καὶ θερμαί- 4
νει σφοδρῶς, ξηραίνει τε ἱκανῶς. — Ὀπὸς ὁ μὲν Κυρηναῖος, ἁπάν- 5
των ἐσῖὶ θερμότατος καὶ λεπῖομερέσῖατος, καὶ διὰ τοῦτο καὶ
διαφορητικώτατος. Οὐ μὴν ἀλλὰ καὶ οἱ ἄλλοι θερμοί εἰσι καὶ πνευ- 6
ματώδεις ἱκανῶς, τουτέσῖιν ὅ τε Μηδικὸς καὶ ὁ Συριακός. —
Ὀρίγανοι πᾶσαι τμητικῆς τε καὶ λεπῖυντικῆς καὶ θερμαντικῆς καὶ 7
ξηραντικῆς σφοδρῶς εἰσι δυνάμεως· ἡ δὲ τραγορίγανος προσείληφέ
τι καὶ σῖύψεως. — Ὄροβος ξηραίνει μὲν ἱκανῶς, θερμαίνει δὲ με- 8
τρίως καὶ τέμνει καὶ ῥύπῖει καὶ ἐκφράτῖει· πλέον δὲ ληφθεὶς αἷμα
διὰ οὔρων ἄγει. — Ὄσῖρακα κηρύκων καὶ πορφύρων καυθέντα ξη- 9

7. τούς om. MV. — 10-11. πίνεται (πίνοντες F)..... δυνάμ. om. MV; cet. e Gal. — 16. [γε] e Gal.; om. Codd.

ραντικῆς ἱκανῶς ἐστι δυνάμεως· καὶ τῶν ὀστρέων δὲ τὸ ὄστρακον
καυθὲν ὁμοίας ἐστὶ δυνάμεως, ᾧ χρῶμαι πρὸς τὰς ἐκ τραυμάτων
χρονίας καὶ δυσσαρκώτους κοιλότητας, ὅσαι συραγγώδεις εἰσὶ καὶ
βαθεῖαι, περιτιθεὶς ἔξωθεν αὐτὸ μετὰ παλαιοῦ στέατος ὑείου, καὶ
εἰς τὸν κόλπον ἐμβαλών τι τῶν τὰ τοιαῦτα σαρκούντων, οἷόν ἐστι
10 καὶ τὸ κεκαυμένον διφρυγὲς ὃ καλοῦσι σπεκλάριον. Ἀλλὰ καὶ λεπτύ-
νει τοὺς ὀδόντας ἡ τῶν τοιούτων ἁπάντων τέφρα, καὶ τῷ ῥυπτικῷ
μὲν τῆς δυνάμεως, καὶ τῷ τῆς οὐσίας δὲ τραχεῖ καθάπερ ἡ κίσση-
ρις· ἐν μὲν οὖν τῇ τοιαύτῃ χρήσει οὐ πάνυ σφόδρα λειοῦν, ἀναγ-
καῖόν ἐστι τὰ οὕτω καυθέντα, τοῖς δὲ κακοήθεσιν ἕλκεσιν ἐπὶ πάν-
11 των ἀκριβῶς προλειώσεις. Καὶ τὰ ὑπερσαρκοῦντα δὲ μετρίως
12 καθαίρει καὶ προστέλλει. Μετά γε μὴν ἁλῶν πάντα τὰ τοιαῦτα καυ-
θέντα, ποιεῖ μὲν καὶ ὀδόντων σμῆγμα δραστικώτερον, ὡς καὶ τὰ
πλαδαρὰ τῶν οὔλων ξηραίνειν, ἀλλὰ καὶ τὰ σηπεδονώδη τῶν ἑλκῶν
ὠφελεῖ.

Π

1 Παλιούρου τὰ φύλλα καὶ ἡ ῥίζα στυπτικῆς μὲν οὐκ ἀσαφῶς με-
τείληφε δυνάμεως ὡς καὶ τὴν ῥέουσαν ἐπέχειν γαστέρα, διαφορη-
2 τικῆς δὲ εἰς τοσοῦτον, ὡς καὶ τὰ φύματα θεραπεύειν. Ὅσα γε μὴ
3 λίαν ὑπάρχει φλεγμονώδη τε καὶ θερμά. Ὁ δὲ καρπὸς τμητικῆς εἰς
τοσοῦτον μετέχει δυνάμεως, ὡς καὶ τοὺς ἐν κύστει λίθους θρύπτειν,
4 καὶ ταῖς ἐκ θώρακος καὶ πνεύμονος ἀναπτύσεσι βοηθεῖν. — Πεν-
ταφύλλου ἡ ῥίζα ξηραίνει μὲν ἱκανῶς, ἥκιστα δέ ἐστι δριμεῖα, διὸ
5 καὶ πολύχρηστος ὑπάρχει. — Πεπέρεως τὸ μὲν ἄρτι βλάστανον,
τὸ μακρόν ἐστι, διὸ καὶ ὑγρότερον ὑπάρχει· τὸ δὲ οἷον ὄμφαξ, τὸ
λευκόν ἐστι πέπερι, δριμύτερον ὑπάρχον τοῦ μέλανος· ἐκεῖνο γὰρ
6 οἷον ὑπερωπτημένον ἐστὶν ἤδη καὶ ὑπερεξηραμμένον. Ἀμφότερα δὲ
7 ἰσχυρῶς θερμαίνει καὶ ξηραίνει. — Πετροσελίνου τὸ σπέρμα δριμὺ

6. σφεκλάριον F V; σφλεκάριον M. — 13. μέν] δέ MV. — 17. ὥστε καί MV. — 24. τὸ δὲ οἷον ὄμφαξ, τό e Gal.; τὸ δὲ οἷον ὄμφαξ, ὁ καρπός, τό Codd. — 26. ὑποπτημένον MV. — Ib. ἤδη] ἰδεῖν MV. — 27. ἱκανῶς MV.

μετὰ ϖικρότητός ἐστι· διὰ τοῦτο καὶ καταμήνια κινεῖ καὶ οὖρα
ϖροτρέπει δαψιλῶς. Ἔστι δὲ καὶ ἄφυσον, θερμαῖνον καὶ ξηραῖνον 8
ἰσχυρῶς.— Πήγανον τὸ μὲν ἄγριον σφοδρότατα θερμαίνει καὶ ξη- 9
ραίνει, καὶ τὸ ἥμερον δὲ σφοδρῶς. Ἔστι δὲ οὐ δριμὺ μόνον, ἀλλὰ 10
καὶ ϖικρόν. Τέμνει τε καὶ διαφορεῖ τοὺς ϖαχεῖς καὶ γλίσχρους 11
χυμοὺς καὶ διὰ οὔρων κινεῖ. Καὶ μὲν δὴ καὶ λεπτομερές ἐστι καὶ 12
ἄφυσον καὶ διὰ τοῦτο ϖρός τε τὰς ἐμπνευματώσεις ἁρμόττει, καὶ
τὰς εἰς ἀφροδίσια ϖροθυμίας ἐπέχει καὶ διαφορεῖ καὶ ξηραίνει γεν-
ναίως. — Πίσσα ἡ μὲν ξηρὰ θερμαίνει τε ἱκανῶς καὶ ξηραίνει, ἡ 13
δὲ ὑγρὰ μετὰ τούτων μετέχει τι καὶ λεπτομεροῦς, ὡς καὶ τοὺς
ἀσθματικοὺς καὶ τοὺς ἐμπύους ὠφελεῖν. Πλῆθος δὲ ἐκλείχειν ἀρκεῖ 14
κύαθον μέλιτος μιγνῦντας. Ἀλλὰ καὶ ῥυπτικὸν ἔχουσί τι καὶ συμ- 15
πεπτικὸν καὶ διαφορητικόν. Οὕτω γέ τοι καὶ λεπροὺς ὄνυχας ἐξά- 16
γουσι μιγνύμεναι κηρῷ, καὶ λειχῆνας ἀπορρύπτουσι. Συμπέττουσι 17
δὲ καὶ τοὺς σκληροὺς καὶ ἀπέπτους ὄγκους ἐπεμβαλλόμεναι κατα-
πλάσμασιν. Ἰσχυροτέρα δὲ εἰς ἅπαντα ἡ ὑγρά. — Πίτυος ὁ φλοιὸς 18–19
ἐπικρατοῦσαν ἔχει τὴν στυπτικὴν δύναμιν, ὡς καὶ ϖαρατρίμματα
καταπλασσόμενος ἰᾶσθαι, κάλλιστα καὶ κοιλίαν ἐπέχει, εἰ ϖοθείη.
Καὶ κατακαύματα δὲ ἐπουλοῖ. Καὶ ὁ τῆς ϖεύκης δὲ φλοιὸς ὅμοιος 20–21
μὲν αὐτῷ, μετριώτερος δὲ κατὰ τὴν δύναμιν. Ἐν δὲ τοῖς φύλλοις 22
ἀμφοτέρων τῶν δένδρων δύναμίς ἐστι κολλητικὴ τραυμάτων. Ἡ δὲ 23
λιγνὺς ἡ ἐκ τῶν εἰρημένων ϖρὸς ϖτίλα βλέφαρα καὶ μύδωντας καν-
θοὺς καὶ ϖεριβεβρωμένους καὶ δακρύοντάς ἐστι χρήσιμος. — Πλά- 24
τανος ὑγροτέρας καὶ ψυχροτέρας ἐστὶν οὐσίας· διὰ τοῦτο τὰ φύλλα
τὰ χλωρὰ λειωθέντα καὶ καταπλασθέντα τὰς ἐν γόνασι φλεγμονὰς
ὀνίνησιν. Ὁ δὲ φλοιὸς αὐτῆς καὶ τὰ σφαιρία ξηραντικώτερα, ὡς τὸν 25
μὲν [ἐν] ὄξει καθεψόμενον εἰς ὀδόντων ἀλγήματα ϖαραλαμβάνεσθαι·
τὰ δὲ σφαιρία μετὰ στέατος ἐπὶ τῶν ϖυρικαύτων ἑλκῶν.— Πομφόλυξ 26

3. Πήγανον] hic Dioscoridem, IV, 4, describit F in ora. — 4. δέ om. F. — 5. διαφορεῖ] λεπτύνει MV. — 8. ϖροθυμίας om. MV. — 10. ἔχει MV. — 11. ἀρκεῖ om. MV. — 24. καί om. M. — 26-28. ξηραντικώτερα.. .... τὰ δὲ σφαιρία om. MV. — 27. [ἐν] Gal.; om. F.

εἰ ϖλυθείη, σχεδὸν ἁπάντων ϖρῶτόν ἐσΊιν, ὅσα ξηραίνειν ἀδήκτως
ϖέφυκεν, ὅθεν εἴς τε τὰ καρκινώδη τῶν ἑλκῶν ἐσΊιν ἐπιτήδειος, καὶ
27 ϖρὸς τὰ ἄλλα τὰ κακοήθη ϖάντα. — Πράσιον θερμαίνει καὶ ξη-
ραίνει σφοδρῶς, ἧπάρ τε ἐκφράτΊει καὶ σπλῆνα καὶ τὰ κατὰ θώ-
28 ρακα καὶ ϖνεύμωνα διακαθαίρει· κινεῖ τε ἔμμηνα. Καὶ καταπλασ-
σόμενον, ῥύπΊει τὲ καὶ διαφορεῖ· καὶ διὰ ῥινῶν ἰκτερικοὺς καθαίρει·
29 καὶ ϖρὸς ὤτων ὀδύνας κεχρονισμένας ϖοιεῖ. — Πρόπολις θερμαί-
νει σφοδρῶς καὶ ῥυπΊικῆς ἰσχυρῶς ἐσΊι δυνάμεως, ἑλκτικῆς τε ἱκα-
30 νῶς ἰσχυρᾶς, καὶ λεπΊομερὴς τὴν οὐσίαν. — Πτελέας τὰ φύλλα
ϖρόσφατα τραύματα κολλᾷ, σΊυπΊικήν τε καὶ ῥυπΊικὴν ἔχοντα
31 δύναμιν. Ὁ δὲ φλοιὸς ἔτι μᾶλλον, ὥσΊε καὶ λέπραν ἰᾶται σὺν ὄξει.
32 Καὶ αἱ ῥίζαι δὲ τῆς αὐτῆς εἰσι δυνάμεως, ὥσΊε καὶ τῷ ἀφεψήματι
33 καταντλοῦσί τινες, ὅσα ϖωρώσεως δεῖται κατάγματα. — Πτέ-
ρεως ἡ ῥίζα ἀναιρεῖ ϖλατεῖαν ἕλμινθα, δραχμῶν τεσσάρων ϖοθει-
σῶν ἐν μελικράτῳ· καὶ ἔμβρυα τὰ μὲν ζῶντα διαφθείρει, τὰ δὲ νε-
34 κρὰ ἐκβάλλει. Ὁμοίαν δὲ αὐτῇ καὶ ἡ θηλύπΊερις δύναμιν ἔχει. —
35 Πυρέθρου ἡ ῥίζα καυσΊικὴν ἔχει δύναμιν, κατὰ ἣν ὀδόντων τε τῶν
ἐψυγμένων ὀδύνας ἰᾶται, καὶ ϖρὸς τῶν κατὰ ϖερίοδον ῥιγῶν ἀνα-
τρίβεται μετὰ ἐλαίου, καὶ τοὺς ναρκώδεις καὶ ϖαρειμένους ὠφελεῖ.
36 — Πυρὸς ἔξωθεν ἐπιτιθέμενος μετρίως θερμαίνει, οὐ μὴν οὔτε
2 φωνὴν ἐβλάβησαν. Χρὴ οὖν ἰᾶσθαι παντοίως τὸν κατάῤῥουν τῷ τε ἐνδεέσlερον ταῖς τροφαῖς χρῆσθαι, καὶ τῷ πίνειν ἔλατlον· ἰρίνου τε ὑποσlάθμῃ καταχρίειν τὸ βρέγμα, καὶ ἐπιβρέχειν ἀφεψήματι

à les enduire de miel, et à expulser par les secousses des éternuments les pellicules de l'ulcère; après quoi, faites aspirer au malade de l'ellébore blanc en aussi grande quantité que possible; puis vous oindrez les
4 parties avec du marc d'huile et du miel. Enduisez les narines avec du
5 cuivre pyriteux ou du vitriol bleu et du miel. Si les ulcères sont anciens, ajoutez du vinaigre âcre.

48. DU CATARRHE ET DU CORYZA.

1 Si on néglige les humeurs qui descendent de la tête, elles causent diverses maladies; en effet, ou bien elles enflamment la luette et les amygdales, ce qui n'est qu'un mal léger; ou elles engendrent la raucité, laquelle est une affection de longue durée, ce qui est un mal non petit; plusieurs même, par suite de catarrhe, ont rendu du sang et du pus par l'expectoration, se sont émaciés (*phthisie?*) et ont
2 perdu la voix. Il faut, en conséquence, user de tous les moyens pour guérir le flux : on diminuera la nourriture et la boisson; on oindra le sinciput avec du marc d'huile à l'iris, puis on fomentera avec une

3. μετὰ ταῦτα διυψῶν (δι' ὑψῶν M) ἀμόργῃ μετὰ μέλιτος. Διάχριε MV.

πηγάνου, καὶ δαφνίνῳ ἐλαίῳ· πέττει γὰρ ταῦτα καὶ παχύνει τὸν
καταῤῥουν. Συνεργεῖν δὲ καὶ τῇ σκέπῃ, καὶ μὴ καθεύδειν ὕπτιον· 3
τοῖς γὰρ οὕτω κλινομένοις ῥᾳδίως εἰς ἀρτηρίαν τὸ ὑγρὸν συνδίδο-
ται. Δεῖ δὲ καὶ ἀνακογχυλιάζεσθαι συνεχῶς τοῖς στύφουσι, ἢ ῥόδα 4
ἐν ὕδατι ἀφεψῶντα ἢ ῥοῦν ἢ σχῖνον, ἢ ὀξύκρατον. Οὐ χεῖρον δὲ καὶ 5
εἰς τὴν ῥῖνα παροχετεύειν τὸν καταῤῥουν ὀσφαντοῖς μὲν, τῷ μελαν-
θίῳ καὶ τῷ ἀνίσῳ, ἐγχύτοις δὲ καὶ τῷ μελανθίῳ μὲν μετὰ ὄξους
τετριμμένῳ, καὶ τεύτλου δὲ καὶ ἀναγαλλίδος χυλῷ· ῥυὲν γὰρ ἐν-
ταῦθα τὸ ὑγρὸν ῥύεται τοῦ κινδύνου τὸν πνεύμονα. Τά γε τῆς κο- 6
ρύζης μικρὰ ἐνοχλήσαντα, ῥᾳδίως καθίσταται τῷ τε ἰρίνῳ καὶ
τῷ δαφνίνῳ χρησαμένων (?), καὶ λίνου σπέρματι ἐν ἐλαίῳ ἑψη-
θέντι, καὶ πηγάνῳ, καὶ τῇ σκέπῃ, καὶ περὶ τὴν δίαιταν ἐνδείᾳ.

μθ'. Πρὸς πταρμοὺς συνεχεῖς καὶ κορύζας.

Μελάνθιον ξηρὸν ἐνδήσας εἰς ὀθόνιον καὶ διατρίψας χερσὶ τοῦτο 1

décoction de rue et d'huile aux baies de laurier, car ces ingrédients cuisent
et épaississent ce qui coule. Il est bon aussi de dormir la tête couverte 3
et de ne pas se coucher sur le dos, car chez ceux qui dorment dans cette
position l'humeur s'introduit aisément dans la trachée artère. On doit 4
encore se gargariser assidûment avec des astringents, par exemple avec
une décoction aqueuse de roses ou de sumac, ou de lentisque, ou avec
de l'oxycrat. Il n'est pas mauvais non plus de dériver le flux vers les na- 5
rines au moyen de substances odorantes, comme sont la nielle et l'anis,
ou de substances pulvérisées qu'on injecte, par exemple la nielle elle-
même pilée avec le vinaigre, ou le suc soit de bette, soit de mouron;
car la dérivation de l'humeur met le poumon à l'abri de tout danger.
L'usage d'huile à l'iris et aux baies de laurier, d'huile où l'on ait fait 6
cuire de la graine de lin et de la rue, le soin de se couvrir la tête, un
régime modéré, dissipent aisément les coryzas de peu d'importance.

49. CONTRE LES ÉTERNUMENTS FRÉQUENTS ET LE CORYZA.

On liera de la nielle sèche dans un linge et on la broiera avec les 1
mains; puis on fera violemment aspirer par les narines la poussière conte-

11. χρισαμένοις (?); *inlitus* LL. — Ib. λίνου] λοιγοῦ Codd.; *linum* LL.

ἐν τῷ ὀθονίῳ τὴν ὀσμὴν ἐπὶ πλέον ἀνασπᾷν κέλευε. — Ἢ θύμον σ7έατι Φυράσας εἰς τέφραν ἔγκρυψον, καὶ ὅταν ὀπ7ηθῇ συντρίψας κέλευε τὴν ὀσμὴν ἀνασπᾷν τοῖς μυκτῆρσιν. — Ἢ σμύρναν διεὶς ἐν οἴνῳ εὐώδει διάχριε τοὺς μυκτῆρας [ὡς] παχυτάτῳ.

ν'. Πρὸς ὑπώπια.

1 Τὰ ὑπώπια πυριᾷν δεῖ μελιλώτου καὶ τήλεως ἀφεψήματι, εἶτα
2 ἀνιέντα κολλύριον τὸ Νείλου διάροδον τῷ ἀφεψήματι χρίειν. Μετὰ δὲ ταῦτα, μόνης τῆς τήλεως ἀφέψημα πυριᾷν, τό τε διάσμυρνον
3 κολλύριον ἐπιχρίειν. Τούτῳ τῷ τρόπῳ θεραπεύσεις καὶ τὰ ὑπώπια, ἐὰν μὴ χρόνια τυγχάνῃ παντάπασιν· ἐπὶ ὧν χρῆσθαι δεῖ τοῖς γενναίως διαφοροῦσι τοῖς ἀναγραφησομένοις.

να'. Πρὸς τὰ ἀρχόμενα ὑπώπια.

1 Νεαλὴς τυρὸς καταπλασσόμενος θεραπεύει, ἢ κυάμινον ἄλευρον μετὰ μέλιτος δευθὲν, ἢ ὠοῦ λέκιθος μετὰ μέλιτος ὁμοίως· τὰ δὲ κεχρονηκότα καὶ ἤδη μελανθέντα, ῥάφανος καταπλασσομένη· ἀφαι-

nue dans le linge. — *Autre :* Mettez sous la cendre du *thym* pétri avec de la graisse; dès que vous reconnaîtrez qu'il est cuit, pilez et faites aspirer l'odeur par les narines. — *Autre :* Délayez de la myrrhe dans du vin odorant et oignez les narines avec la partie la plus épaisse.

50. CONTRE L'HYPOPION.

1 Fomentez les hypopions (*tuméfaction livide qui siége au-dessous des yeux*) avec une décoction de mélilot et de fenugrec; puis dissolvez dans cette dé-
2 coction le collyre aux roses de Nilée et faites un liniment. Ensuite n'employez que la décoction du fenugrec et oignez avec le collyre à la myrrhe.
3 Vous guérirez ainsi les hypopions, à moins qu'ils ne soient tout à fait invétérés; pour ces derniers on se servira des substances qui sont inscrites comme jouissant de la vertu de dissiper fortement.

51. CONTRE LES HYPOPIONS COMMENÇANTS.

1 Le fromage nouveau guérit les hypopions commençants; on emploie aussi la farine de fève délayée avec du miel, ou un jaune d'œuf également délayé avec du miel; mais, pour ceux qui sont anciens et ont pris une couleur noire, il faut employer le raifort, que l'on enlèvera lorsqu'il

ρεῖν δὲ αὐτὴν ὅταν ἄρξηται δάκνειν· καὶ ἄρου ῥίζα τεθεῖσα καὶ
μιγεῖσα μέλιτι καταπλασσομένη. Τὰ δὲ μετὰ φλεγμονῆς ὑπώπια 2
πυριῶν ὕδατι θερμῷ, κατάπλασσε ἑφθῇ φακῇ λείᾳ μετὰ μέλιτος.
Εἰ δὲ μετὰ διακοπῆς εἴη, τῇ μὲν διαιρέσει τῶν ἐναίμων τι ἐπιτίθει· 3
τὰ δὲ ἔξωθεν κατάπλασσε τοῖς ποιοῦσι πρὸς τὰ χωρὶς διακοπῆς.

νβ'. Περὶ ἰόνθων.

Ὄγκος σκληρὸς καὶ μικρός ἐστι καλούμενος ἴονθος ἐν τῷ κατὰ 1
πρόσωπον δέρματι συνιστάμενος. Τῶν μαλαττόντων καὶ διαφο- 2
ρούντων χρῄζων βοηθημάτων, μέλιτος ἀττικοῦ κύαθον ὄξους δριμυ-
τάτου τὸ ἴσον μίξας, χρίε ἐπιμελῶς τοὺς ἰόνθους τῷ δακτύλῳ παρα-
τρίβων, ἢ σχιστὴν λεάνας ἐπιμελῶς, ἀναλάμβανε τερεβινθίνῃ καὶ
μαλάξας ἐπιτίθει. Πρὸς δὲ τοὺς κεχρονισμένους καὶ τετυλωμένους, 3
σάπωνος γαλλικοῦ ∠δ', ἀμμωνιακοῦ ∠α', ὕδατι διαλύσας, ποίει
κηρωτῆς πάχος, καὶ ἐπιχρίσας, καὶ διαστήσας ὥραν μίαν, ἀπόνιπτε
χλιαρῷ. — Ἄλλο· νίτρου, κόμμεως λευκοῦ τὸ ἴσον ὄξει διαλύσας 4

commencera à exciter de la mordication; on pourra appliquer encore la
racine de gouet broyée avec du miel. Fomentez avec de l'eau chaude les 2
hypopions accompagnés d'inflammation; puis vous poserez un cataplasme
fait avec des lentilles cuites et broyées avec du miel. S'il y a solution 3
de continuité de la peau, mettez dans la plaie quelqu'une des substances
appropriées aux plaies saignantes; mais placez alentour celles qui con-
viennent aux hypopions non accompagnés de division de la peau.

52. CONTRE LE VARUS.

On appelle *varus* une petite tumeur dure qui paraît à la peau du visage. 1
Elle demande des remèdes émollients et dissipants : mêlez un verre de 2
miel attique à un verre de vinaigre très-fort, et oignez-en soigneusement
les varus en les frottant avec les doigts; ou pulvérisez avec soin de
l'alun de plume, incorporez dans de la térébenthine, et, après avoir amolli
le mélange, vous le placerez sur le mal. Quant aux varus qui sont invété- 3
rés et sont devenus calleux, prenez quatre drachmes de savon de Gaule,
une de gomme ammoniaque; faites dissoudre dans l'eau, réduisez à la
consistance du cérat et enduisez les tumeurs; une heure après lavez-les
avec de l'eau tiède. — *Autre :* Faites dissoudre dans du vinaigre parties 4

καὶ τρίψας ἐπιμελῶς ἀνάπλασσε τροχίσκους, καὶ ξήραινε ἐν σκιᾷ, ἐπὶ τῆς χρήσεως ὄξει διαλύων ἐπίχριε· ὅταν δὲ ξηρανθῇ, σάπωνι
5 ἀπόσμηχε. Ποιεῖ τοῦτο καὶ πρὸς τὰς ὀχθώδεις διαθέσεις καὶ πρὸς [τοὺς] ἐπὶ τοῦ προσώπου κνησμούς.

νγʹ. Πρὸς τὰς ἐπὶ τοῦ γενείου συκώδεις ἐπαναστάσεις.

1 Λιθαργύρου, μίσυος ὠμοῦ ἴσα τρίψας κατάχριε, ἢ κόλλαν τεκτο-
2 νικὴν μετὰ μίλτου κατάχριε. — Ἄλλο σφόδρα γενναῖον· Ἐλατηρίου, ἁλῶν ὀρυκτῶν ἴσα μίξας κατάπλασσε, παραπτόμενος πυρὴν μύλης
3 καθύγρου, ὥστε τὸ φάρμακον προσκαθίσαι. Μετὰ δὲ τὴν τοῦ φαρμάκου ἐπίθεσιν, χρηστέον λίνου σπέρματι λειωθέντι μετὰ ὕδατος.
4 Καθύγρων δὲ ὄντων τῶν ἑλκῶν, ἀπὸ ὧν ὕδωρ καθαρὸν ἀποῤῥεῖ,
5 χρηστέον τῷ Ἄνδρωνος τροχίσκῳ. — Πρὸς δὲ τὰ ἐπὶ τῶν γενείων ἐξανθήματα σίδηρον πεπυρακτωμένον ἐπίβαλε ξύλῳ παλιούρου

égales de soude brute et de gomme blanche, pilez avec soin, faites des trochisques et laissez sécher à l'ombre; quand vous voudrez en faire usage, délayez dans du vinaigre et oignez; quand cette pâte a séché sur place,
5 détergez avec du savon. Ce médicament est aussi employé utilement contre les excroissances tuberculeuses et le prurit du visage.

53. CONTRE LES ÉRUPTIONS QUI RESSEMBLENT À DES FIGUES ET QUI SE DÉVELOPPENT AU MENTON.

1 Broyez parties égales de litharge et sulfate de cuivre déliquescent cru, et enduisez; ou de la colle de charpentier avec de la terre rouge, et en-
2 duisez. — *Autre très-efficace :* Mêlez parties égales d'elaterium (*suc de concombres sauvages*) et de sels fossiles, et appliquez avec le bouton d'une
3 sonde humectée afin que le médicament adhère. Après l'application du médicament, vous ferez usage de la graine de lin broyée avec de
4 l'eau. Si les ulcères sont tellement humides, qu'il en coule de l'eau pure,
5 on aura recours aux pastilles d'Andron. — Quant aux exanthèmes qui naissent au menton, prenez un fer chauffé à blanc et placez dessus du bois de paliure, puis recueillez la liqueur qui en découle et oignez-en

3. τάς om. M. — Ib. [τούς] om. Codd. — CH. 53; l. 11. Ἀνδρ.] ἄντρῳ; *Andronius* LL.

καὶ τὸ ἐπιγιγνόμενον ὑγρὸν, λαϐὼν κατάχριε· ἢ μύρτα λειώσας οἴνῳ κατάχριε, ἢ χάλκανθον ὄξει λειώσας κατάχριε. —

A la fin de ce chapitre se trouve sans numéro le chapitre XXXV du livre VIII de la *Synopsis*, avec ces différences : *μετὰ ὑγρομέλιτος*, au lieu de : *μετὰ ὕδατος ἢ μέλιτος*; p. 440, l. 4; *σηπίας ὄστρακα καυθέντα πρὸς ἐφήλεις καὶ φακοὺς ποιεῖ*, l. 6.

νδ'. Πρόσωπα λαμπρύνοντα καὶ τετανοῦντα καὶ στιλπνοῦντα, καὶ εὔχροιαν παρέχοντα, καὶ ὑπὸ ἡλίου μὴ ὑποκαίεσθαι, καὶ τὴν γενομένην ἐπίκαυσιν ἰᾶσθαι.

Σίκυος ἐδώδιμος καὶ ὁ μὲν ἤδη πέπων λαμπρύνουσι τὸ σῶμα καὶ 1
μάλιστα εἰ ξηράνας τις τὸ σπέρμα, κἄπειτα κόψας τε καὶ σήσας ῥύμ-
ματι χρῷτο. Κροκοδείλου χερσαίου κόπρος, λαμπρόν τε καὶ τετανὸν 2
ἐργάζεται τὸ πρόσωπον. Ὁμοία δὲ ἐστὶν αὐτῇ καὶ ἡ τῶν ψαρῶν, 3
ὅταν ὄρυζαν μόνην ἐσθίωσιν. Ἀποῤῥύπτουσιν οὖν καὶ ἐφῆλιν. — Σι- 4-5
κύου ἀγρίου τὰς ῥίζας κόψας, φῶξον, καὶ ἑψήσας διὰ ὕδατος, τρίψον
λεῖα καὶ κατάπλασσε· τετανὸν ποιεῖ καὶ λευκὸν τὸ πρόσωπον.
Ὁμοίως καὶ βρυωνίας ῥίζαι ἐν ἐλαίῳ ἑψηθεῖσαι καὶ χριόμεναι στιλ- 6
πνὸν ποιοῦσι τὸ πρόσωπον. — Ὀρόϐους οἴνῳ εὐώδει λειώσας κατά- 7

l'exanthème; ou faites la même chose avec des baies de myrte pilées dans du vin; ou encore servez-vous de vitriol bleu délayé dans du vinaigre.

54. DES SUBSTANCES QUI RENDENT LE VISAGE BRILLANT, PLEIN ET BIEN COLORÉ, LE PROTÉGENT CONTRE L'ACTION DU SOLEIL ET LE GUÉRISSENT QUAND IL EN A ÉTÉ BRÛLÉ.

Le concombre comestible, quand il est déjà mûr, donne au corps un 1
aspect brillant, surtout si, après avoir séché, broyé et tamisé la graine,
on emploie la poudre comme un détersif. Les excréments du crocodile de 2
terre donnent de l'éclat au visage et rendent la peau sans rides. Il en est 3
de même des excréments des étourneaux, lorsqu'ils n'ont mangé que du
riz. Ces remèdes dissipent aussi les éphélides. — *Autre :* Concassez, faites 4-5
griller des racines de concombre sauvage, cuisez dans l'eau, pilez et ap-
pliquez; cela rend le visage plein et le blanchit. De même les racines de 6
bryone cuites dans l'huile et employées en onctions donnent du brillant au
visage. — *Autre :* Appliquez de la farine d'ers délayée dans du vin odorant; 7

πλασσε· ἢ, σεμιδάλεως χυλὸν καταστήσας, ἀπόχεε τὸ ὑγρὸν, καὶ τῇ
ὑποστάθμῃ ϖρόσμιξον ὠοῦ τὸ λευκὸν, ϖοιῶν μέλιτος ϖάχος· καὶ
8 τοῦτο χρίε τὸ ϖρόσωπον ἐν ἡλίῳ μέλλων διατρίβειν. Ἀπὸ δὲ τοῦ
9 ἡλίου γενόμενος ϖρόσκλυζε ψυχρῷ ϖολλῷ. Ποιεῖ καὶ γῆ Χία χρω-
10 μένη, καὶ μαστίχη. Εὔχρουν τὸ ϖρόσωπον καὶ ϖᾶν τὸ σῶμα ϖοιῆ-
σαι, ϖελεκήματα κυπαρίσσου καὶ ϖρίνου ἐν τῷ αὐτῷ ζέσας, τῷ
11 ἀποζέματι ἄλειφε ϖᾶν τὸ σῶμα. Πρὸς δὲ τὸ ὑπὸ ἡλίου μὴ ὑποκαίε-
σθαι καὶ τὴν γινομένην ἐπίκαυσιν ἰᾶσθαι, βολβὸν λευκὸν μετὰ μέ-
λιτος λεῖον κατάχριε.

νε'. Πρὸς τὰς ἐν ταῖς μασχάλαις δυσωδίας καὶ τοὺς τράγους.

1 Διάχριε σμύρναν μετὰ στυπτηρίας, ἢ κροκομάγματι ἢ [κυπαρίσ-
2 σου] ϖρίσμασι μετὰ στυπτηρίας καὶ οἴνου εὐώδους. Δίδου δὲ σκο-
λύμου ῥίζαν ἑψομένην ϖίνειν.

νς'. Πρὸς τὰς ἐν τῷ στόματι δυσωδίας.

1 Στόματι δὲ εὐωδίαν ϖαρέξεις, ἶριν ἀποβρέχων οἴνῳ εὐώδει ϖα-

ou faites déposer une décoction de froment *sémidalite*, jetez l'eau, et à ce
qui restera, comme du marc, mêlez un blanc d'œuf, réduisez à la con-
sistance du miel et oignez-en votre visage, si vous devez rester au soleil.
8 Si le visage a été brûlé par le soleil, lavez-le avec beaucoup d'eau froide.
9–10 La terre et le mastic de Chios agissent de même. Pour donner une
bonne couleur au visage et à tout le corps, on lavera avec une décoc-
11 tion de copeaux de cyprès et d'yeuse cuits dans le même vase. L'oignon
blanc broyé avec du miel et appliqué en onctions préserve des brûlures
du soleil (*coups de soleil*) ou les guérit quand on n'a pu les éviter.

55. CONTRE LA FÉTIDITÉ DES AISSELLES ET L'ODEUR DE BOUC.

1 Faites des embrocations avec la myrrhe ou l'alun, ou le marc de safran
ou les raclures de cyprès unies à de l'alun et à du vin odoriférant.
2 Donnez aussi à boire une décoction de racine de cardousse.

56. CONTRE LA MAUVAISE ODEUR DE LA BOUCHE.

1 Pour donner une bonne odeur à la bouche, faites macérer de l'iris

Ch. 55; l. 10-11. [κυπαρίσσου] Diosc.; om. Codd. — Ch. 56; l. 13-p. 738, l. 2. Στόματι δὲ εὐωδίαν ϖαρέξεις..... τινά om. Verss. antiq.

λαιῷ καὶ διακλυζόμενος συνεχῶς, καὶ κατέχων ἐν τῷ στόματι
χρόνον τινά. Τὰς δὲ οὔσας ἐν τῷ στόματι δυσωδίας περιαιρεῖ 2
οἶνος ἄκρατος μετὰ σμύρνης διακλυζόμενος, καὶ σχοίνου ἄνθος πα-
ρατριβόμενον. Διαμασῶνται δὲ τινὲς ἶριν, ἄννησον, ἤ τι τοιοῦτον. 3

νζ'. Πρὸς χείλη κατεῤῥωγότα.

Κηκίδα, ὀμφακῖτιν λείαν ἀναλάμβανε τερεβινθίνῃ ἢ οἰσύπῳ ἢ μέ- 1
λιτι, καὶ ἐπίχριε. Πρὸς δὲ τὰς βαθυτέρας ἐπιῤῥήξεις, ἐπάλειφε αἰ- 2
γείῳ τεθεραπευμένῳ λίπει, ἢ μυελῷ βοείῳ ἢ στέατι χηνείῳ.

νη'. Πρὸς σειομένους ὀδόντας, καὶ περὶ τῶν κατὰ τοὺς ὀδόντας πάντων παθῶν.

Ὅταν διὰ γῆρας οἱ ὀδόντες σείωνται, βραχείας τῆς βοηθείας 1
τυγχάνουσι διὰ τῶν στυφόντων καὶ τὰ οὖλα σφιγγόντων τὰ περὶ
τοὺς ὀδόντας. Ὅταν δὲ διὰ ἄλλην αἰτίαν σείωνται, τεκμαίρεσθαι χρὴ 2
διὰ ὑγρότητα πολλὴν χαλᾶσθαι τὸ νεῦρον τὸ καθῆκον εἰς τὰς ῥίζας

dans du vieux vin odorant et rincez-vous souvent la bouche avec ce vin,
en l'y retenant quelque temps. Le vin pur avec de la myrrhe enlève 2
l'odeur fétide de la bouche, ainsi que le jonc odorant broyé. Quelques- 3
uns mâchent de l'iris, de l'anis ou quelque autre substance de même
nature.

57. DES LÈVRES FENDUES.

Pilez des noix de galle vertes, incorporez dans de la térébenthine, ou 1
dans de la laine en suint, ou dans du miel, et oignez-en les lèvres. Si les 2
fissures sont profondes, oignez avec du suif de chèvre purifié, de la
moelle de bœuf ou de la graisse d'oie.

58. DES DENTS ÉBRANLÉES ET DE TOUTES LES ESPÈCES D'AFFECTIONS DES DENTS.

Lorsque, par suite de la vieillesse, les dents sont branlantes, on tire 1
quelque faible utilité des remèdes astringents qui fortifient les gencives.
Si elles sont ébranlées par une autre cause [que la vieillesse], on exami- 2
nera si cet ébranlement tient à une humidité si excessive que le nerf qui

3. σχοίνου Gal.; οἴνου Codd.; *vini* Verss. antiquiss. — Ch. 58; l. 8. Ὅταν] In ora F : Πρὸς τὸ λευκᾶναι ὀδόντας. — Ἐλαιοροδίνῳ διάκλυζε τὸ στόμα συνεχῶς· ἔπειτα δὲ τῷ ἐλαίῳ ἐπίμιξον φάβαν ἀλεστὸν, καὶ ποίει ὁμοίως.

αὐτῶν, καὶ χρήζειν φαρμάκων τῶν ξηραινόντων· στυπτηρίαν οὖν
3 στρογγύλην μετὰ ἁλὸς διπλοῦ περίπλασσε τοῖς ὀδοῦσιν. Ἢ πτελέας
4 φλοιὸν ἐν οἴνῳ ἑψήσας, διακράτει. Ἀλλὰ καὶ τὰ τρήματα τῶν ὀδόν-
των διὰ ἐπιῤῥοὴν ὑγρῶν δριμέων ἀποτελεῖται· δῆλον οὖν ὅτι καὶ
5 ταῦτα χρήζει τῶν ξηραινόντων τὴν κακοχυμίαν. Πολλῆς μὲν οὔσης
τῆς ὑγρότητος, τῆς κεφαλῆς προνοήσομεν ἢ καὶ τοῦ σώματος παν-
τός· ἐλάττονος δὲ οὔσης, τοῖς τοπικοῖς ἀρκεσθησόμεθα βοηθήμασιν·
ἐν ἀρχαῖς μὲν διὰ τῶν ἀποκρουομένων ἀναστέλλοντες τὸ ἐπιῤῥέον·
πολλάκις γὰρ πρὸ τῆς φλεγμονῆς διὰ τούτων ὑγιὴς ὁ πάσχων γίνε-
ται· φλεγμονῆς δὲ ἐπισυμβάσης, τοῖς ἀδήκτως θερμαίνουσι καὶ
6 κενοῦσι χρησόμεθα. Τῆς ὀδύνης δὲ μηδὲ ἐπὶ τούτοις εἰξάσης, τὰ
σφοδρῶς θερμαίνοντα προσάξομεν, οἷον ἐστὶ τό τε πέπερι καὶ
7 τρὺξ κεκαυμένη καὶ πύρεθρον καὶ εὐφόρβιον. Ἐντιθέναι δὲ τούτων τι
8 δεῖ τῷ τρήματι. Καὶ ποτὲ καὶ τοῖς ναρκωτικοῖς ἐπὶ τῶν ἀγρυπνούν-
των διὰ σφοδρὰν ὀδύνην χρῆσθαι.

se répand dans leurs racines se trouve relâché; dans ce cas on usera de mé-
dicaments desséchants; en conséquence, on enduira les dents avec l'alun
3 rond (ou *astragalote*) et le double de sel. Ou encore faites cuire l'écorce
4 d'orme dans du vin, et gardez la décoction dans la bouche. Le flux des
humeurs âcres forme aussi des trous dans les dents, ce qui prouve la né-
5 cessité de dessécher les mauvaises humeurs. S'il y a beaucoup d'humi-
dité, nous nous occuperons de l'état de la tête et même de celui de tout
le corps; si l'humidité est moindre, nous nous en tiendrons aux remèdes
topiques, usant, au début, de substances répercussives pour arrêter le
flux; car il arrive souvent que, par l'usage de ces remèdes, le malade se
trouve guéri avant que l'inflammation se produise; lorsque l'inflamma-
tion se montre, nous userons des remèdes qui réchauffent et évacuent sans
6 mordication. Quand la douleur ne s'apaise pas par ces remèdes, nous em-
ploierons ceux qui jouissent d'une très-grande chaleur, tels que le poivre,
7 la lie de vin brûlée, le pyrèthre et l'euphorbe. On doit en introduire
8 quelque partie dans le trou de la dent. Il arrive aussi quelquefois que,
par suite de la douleur excessive, qui entraîne la privation du sommeil,
on doit recourir aux narcotiques.

1. χρήζει F.

νθ'. Πρὸς βεβρωμένους ὀδόντας καὶ μύλας, καὶ πεπελιδνωμένους καὶ ὀδυνωμένους.

Πρὸς βεβρωμένους ὀδόντας κηκῖδα λείαν λυκίῳ ἢ τερμινθίνῃ, 1
ἀναλαβὼν περίπλαττε, περικαθάρας πρότερον. Πέπερι ἢ καχρὺ 2
ὀπίῳ ἀναλαβὼν, ἐντίθει εἰς τὸ βρῶμα, ἢ πύρεθρον μετὰ σμύρνης,
ἢ ὀπὸν Κυρηναϊκὸν *καὶ πέπερι ἴσα μετὰ χαλβάνης. Πρὸς δὲ βεβρω-* 3
μένην μύλην, μελάνθιον φώξας καὶ τρίψας μετὰ ὄξους δριμέως κα-
τάπλασσε τὸ βρῶμα, καὶ οὐκέτι βρωθήσεται. — Ἐλλεβόρου μέλανος, 4
ἡλίκον ὀρόβιον σὺν μέλιτι ἑφθῷ ἐπιτίθει. — Καὶ τοὺς πεπελιδνω- 5
μένους δὲ διὰ τῶν ξηραινόντων, ὡς ἂν ἐξ ἐπιρροῆς ὑγρῶν μοχθηρῶν
τοῦτο πάσχοντας, ὁμοίως δὲ θεραπεύσεις τοῖς βεβρωμένοις. — Ὀδυ- 6
νωμένων δὲ ὀδόντων χωρὶς φλεγμονῆς οὔλων, ποτὲ μὲν αὐτὸ τὸ σῶμα
τὴν ὀδύνην ἔχει, ποτὲ δὲ τὸ καταφυόμενον νεῦρον· σφοδροτέρων οὖν
δέονται φαρμάκων, εἴτε ἀποκρούεσθαί τις εἴτε διαφορεῖν βούλοιτο
τὸ τῆς ὀδύνης αἴτιον, εἴτε χυμὸς εἴτε φυσῶδες πνεῦμα εἴη· διὸ καὶ
τὰ πλεῖστα αὐτῶν διὰ ὄξους σκευάζεται δριμυτάτου.

59. DES DENTS ET DES MOLAIRES CORRODÉES ET DE CELLES QUI SONT NOIRES ET DOULOUREUSES.

Pour les dents rongées, frottez avec la noix de galle broyée dans le 1
suc de petit nerprun ou dans la térébenthine, après avoir préalablement
nettoyé la place. Prenez aussi du poivre et de la graine de romarin mêlée 2
à l'opium et mettez-en dans la partie corrodée, ou du pyrèthre avec de
la myrrhe, ou le suc de Cyrénaïque et du poivre, parties égales, avec
du galbanum. Pour les molaires rongées, brûlez de la nielle, écrasez-la 3
dans du vinaigre très-fort, et remplissez le trou; la dent ne se corrodera
plus. — *Autre :* Appliquez de l'ellébore noir gros comme un petit grain 4
d'ers avec du miel cuit. — Vous guérirez avec les médicaments dessé- 5
chants, qui conviennent pour les dents corrodées, les dents qui sont
devenues noires, si c'est par suite d'un flux d'humeurs viciées. — Si les 6
dents sont douloureuses sans qu'il y ait d'inflammation aux gencives,
quelquefois c'est le corps même de la dent qui souffre, quelquefois c'est
le nerf qui s'y insère; il faut donc, si l'on veut ou repousser ou dissiper
la cause de la douleur, et si cette cause est soit une humeur soit un
pneuma flatulent, employer des remèdes plus efficaces; aussi, dans la
plupart de ces remèdes, doit-on faire entrer du vinaigre très-fort.

ξ'. Πρὸς ὀδόντων ἀλγήματα καὶ περὶ τῶν ἐψυγμένων καὶ τῶν σειομένων.

1 Ἀρνογλώσσου ῥίζαι διαμασόμεναί τε καὶ διακλυζόμεναι ἀφεψη-
θεῖσαι, ἢ μυρσίνης κλωνία μετὰ ὄξους ἀνεζεσμένα, ἢ πενταφύλλου
ῥίζα καθεψηθεῖσα ἐν οἴνῳ, ἢ κηκὶς ἐν ὄξει ἱκανῶς ἑψηθεῖσα, ἢ ἐλ-
2 λέβορος μέλας ὄξει διακλυζόμενος, ἢ καππάρεως ῥίζης φλοιός. Ἐπὶ
δὲ τῶν ἐψυγμένων, πυρέθρου ῥίζα, οἴνου τρὺξ θερμὴ, ὕσσωπον,
σταφὶς ἀγρία, γλήχων μετὰ ὀξυμέλιτος, ὑοσκυάμου τὸ σπέρμα καὶ
φύλλα σὺν ὄξει ἢ ὀνείῳ γάλακτι διακλυζόμενα· τοῦτο καὶ τοὺς
3 σειομένους στερεοῖ. Πυριάσεις δὲ ἔξωθεν μὲν, διὰ ἁλῶν πεφωγμέ-
4 νων ἢ κέγχριον εἰς μαρσύπους. Αὐτὸν δὲ τὸν ὀδόντα πυριάσεις,
ὀριγάνου ξηροῦ κλωνίον εἰς ζεστὸν ἔλαιον βάπτων τῷ πονοῦντι
ὀδόντι ἄνωθεν ἐπερείδων.

ξα'. Ἀποφλεγματισμοὶ ὀδονταλγίας.

1 Σταφὶς ἀγρία διαμασηθεῖσα ἰδίᾳ καὶ μετὰ γλήχωνος· ἢ σκορό-

60. CONTRE LA DOULEUR DE DENTS; DES DENTS QUI ONT SOUFFERT DU FROID ET QUI SONT ÉBRANLÉES.

1 Mâcher des racines de plantain ou les faire bouillir et user de la dé-
coction en collutoires; user également en collutoires de la décoction des
rameaux de myrte cuits dans le vinaigre, ou de la racine de quintefeuille
cuite dans le vin, ou de l'ellébore noir avec du vinaigre, ou mâcher de
2 l'écorce de la racine de câprier. Pour les dents qui sont douloureuses par
suite du froid, employez la racine de pyrèthre, la lie de vin chaude,
l'hysope, le raisin sauvage, le pouliot avec l'oxymel, les graines et les
feuilles de la jusquiame avec du vinaigre ou du lait d'ânesse: tout cela
3 raffermit aussi les dents vacillantes. On fomentera les parties extérieures
4 avec des sachets où l'on mettra soit du sel grillé, soit du petit millet. Vous
fomenterez aussi la dent elle-même : trempez une branche sèche d'ori-
gan dans l'huile bouillante et appliquez-la sur la couronne de la dent
douloureuse.

61. APOPHLEGMATISMES CONTRE LES DOULEURS DE DENTS.

1 La staphisaigre seule ou mâchée avec du pouliot tire la pituite de la

Ch. 60; l. 8. σειομένους] πόνους MV.

δων πυρῆνας πέντε, μυρσίνης μελαίνης φύλλα ὀλίγα σὺν ὄξει, κινῶν σπάθῃ δαδίνῃ, ἕψε μέχρις ἡμίσους, καὶ δίδου διακλύζεσθαι καὶ διακρατεῖν· εἶτα χαίνοντας ἐᾶν ἀποῤῥεῖν τὸ φλέγμα.

ξβʹ. Πρὸς τὸ ὀδόντα καὶ μύλην ἀπόνως ἆραι.

Ἀλεύρου ∠αʹ φυράσας ἐν ὀπῷ τιθυμάλλου ἐπίθες κατὰ τοὺς ὀδόν- 1
τας. Καὶ ἐπάνω κισσοῦ φύλλα, καὶ ἐάσας ὥραν αἶρε αὐτό· αὐτομά- 2
τως γὰρ θριβήσεται.

ξγʹ. Πρὸς τοὺς ἠσθενηκότας ὀδόντας ἢ μύλας καὶ τοὺς τριβομένους καὶ τοὺς αἱμοδιῶντας.

Μέλι καὶ κηρὸν ἐν ἡλίῳ ἴσα θερμῷ ὕδατι ἀνεὶς, πίσσης τὸ ἥμισυ 1
πρόσμιξον καὶ δίδου διαμασᾶσθαι· ἐὰν δὲ ᾖ ξηρὸν, βραχὺ ἔλαιον
πρόσμιξον. Καλὸν δὲ καὶ μασίχη μασωμένη. Τοὺς δὲ τριβομέ- 2-3
νους ὀδόντας ὡς ἂν ὑπὸ μαλακότητος τοῦτο πάσχοντας, σκληροτέ-

tête; ou mettez dans du vinaigre et remuez avec une spatule de sapin cinq gousses d'ail et quelques feuilles de myrte noir; faites réduire à moitié par la cuisson; on lavera la bouche avec ce mélange et on l'y gardera; ensuite on ouvrira la bouche toute grande afin que la pituite puisse s'écouler.

62. MANIÈRE D'ARRACHER SANS DOULEUR LES DENTS ET MÊME LES MOLAIRES.

Pétrissez une drachme de farine de froment avec le suc de tithymale, 1
et vous en entourerez les dents. Je loue aussi l'application des feuilles 2
de lierre, que vous laisserez pendant une heure; après quoi vous enlèverez le tout : la dent tombera d'elle-même en petits morceaux.

63. DES DENTS OU DES MOLAIRES FAIBLES ET QUI SE BRISENT AISÉMENT, OU QUI SONT AGACÉES.

On délayera dans de l'eau chauffée au soleil du miel et de la cire à 1
poids égal, en y mêlant la moitié de poix, puis on fera mâcher ce mé-
lange; s'il est trop sec, on ajoutera un peu d'huile. Le mastic mâché est 2
utile aussi. On rend plus dures avec des médicaments astringents les 3
dents qui se brisent aisément, la mollesse paraissant en être la cause.

Ch. 63; l. 8-9. διαμασᾶσθαι ἐὰν δὲ... ᾖ ξηρὸν μασίχη μασωμένη MV; διαμ. μασίχη μασωμένη c Gal.; διαμ. ἐὰν δὲ καλὸν δὲ καὶ ξηρὰ μασίχη F.

4 ρους ἀποτελεῖν χρὴ διὰ τῶν στυφόντων. Αἱμωδίας δὲ ἴαμα ἐστὶν ἀνδράχνη, αὐτή τε καὶ ὁ χυλὸς αὐτῆς, ἢ ἔλαιον διακρατούμενον.

ξδ'. Πρὸς τὰ ὀδοντοφυοῦντα βρέφη.

1 Ἐπὶ δὲ τῶν ὀδοντοφυούντων βρεφῶν ἐὰν ὦσιν ἐπαλγεῖς, κυνείῳ γάλακτι περίχριε, ἢ λαγωοῦ ἐγκεφάλῳ· ποιεῖ καὶ ἐσθιόμενος.
2 Ἐὰν δὲ δυσχερῶς ὀδοὺς ἐκφύηται, κύπερον μετὰ βουτύρου καὶ σουσίνου χρίε κατὰ τῆς ἐκφύσεως.

ξε'. Πρὸς φυλακὴν ὀδονταλγίας καὶ ῥῶσιν καὶ εὐπρέπειαν ὀδόντων.

1 Τιθυμάλλου ῥίζας ἑψήσας ἐν οἴνῳ μέχρις ἡμίσους, δὶς τοῦ μη-
2 νὸς διακλύζου, καὶ οὐδέποτε ὀδόντα ἀλγήσεις. Ἄριστα δὲ πρός τε
φυλακὴν ἀλγημάτων καὶ ῥῶσιν καὶ εὐπρέπειαν τὰ ὑπογεγραμμένα
σμήγματα· λαγωοῦ κεφαλὴν καύσας καὶ λεάνας σμῆχου· ἢ ἅλας
καὶ μέλι λεάνας μέχρι κηρωτοειδὲς γένηται, καθαρῷ ὀθονίῳ δήσας
καῦσον, εἶτα μίξας ἶριν ὀλίγην σμῆχου.

4 Le pourpier, son suc, ou l'huile dans laquelle il a été macéré, gardés dans la bouche guérissent l'agacement.

64. DE LA DENTITION DES ENFANTS.

1 Pour calmer les douleurs des enfants durant la dentition, on oindra
leurs gencives avec du lait de chienne ou avec la cervelle d'un lièvre; il
2 sera bon aussi de donner ces substances pour nourriture. Si les dents
sortent difficilement, on fera, dès qu'elles paraîtront, des onctions avec
du souchet et du beurre, ou avec l'huile de lis.

65. MÉDICAMENT QUI PRÉSERVE DE LA DOULEUR DES DENTS, LES RAFFERMIT ET LEUR DONNE DE L'ÉCLAT.

1 Faites cuire dans du vin, jusqu'à réduction de moitié, des racines de
tithymale et lavez-en la bouche deux fois par mois; aucune douleur ne
2 se fera sentir. Les remèdes détersifs dont je vais donner le détail sont
excellents aussi pour garantir les dents contre la douleur, les fortifier et
leur donner de la beauté : brûlez la tête d'un lièvre, faites une poudre et
frottez-en les dents ; ou mêlez du sel et du miel jusqu'à ce qu'ils acquièrent la consistance de cérat, enveloppez-les dans un linge blanc et brûlez-les; ajoutez un peu d'iris et frottez-en les dents.

Ch. 65; l. 8. ὀδόντα om. MV. — 9. εὐπρέπειαν] *et honesti fiant* Verss. antiq.

ξϛʹ. Λαμπρυντικὰ ὀδόντων καὶ τὰ πλαδαρὰ τῶν οὔλων ξηραίνοντα.

Λαμπρυντικὰ δὲ ὀδόντων ἐσΊὶν ὀσΊρέων καὶ κηρύκων καὶ πορφύ- 1
ρων καυθέντων ἡ τέφρα μὴ πάνυ λειουμένη, κίσσηρις· κριβάνων
ὄσΊρακα ὁμοίως. Μετὰ ἁλῶν δὲ καυθέντων ποιεῖ μὲν καὶ τῶν ὀδόν- 2
των σμῆγμα δρασΊικώτερον, καὶ τὰ πλαδαρὰ δὲ τῶν οὔλων ξηραί-
νει. Σηπίας ὄσΊρακα ἄκαυτα κοπΊόμενα ὁμοίως ὀδόντας λαμπρύνει. 3
Κέρας ἐλάφου τε καὶ αἰγὸς λαμπρύνει τε τοὺς ὀδόντας, καὶ τὰ πλα- 4
δαρὰ τῶν οὔλων ξηραίνει.

ξζʹ. Περὶ τῶν κατὰ τὰ οὖλα παθῶν τὰ διὰ φλεγμονὴν ὀδυνώμενα καὶ τὰ ῥευματιζόμενα καὶ τὰ βεβρωμένα, καὶ περὶ ἐπουλίδων.

Οὔλων δὲ διὰ φλεγμονὴν ὀδυνωμένων ἄρισΊόν ἐσΊιν σχίνινον 1
εὔκρατον κατὰ θερμότητα διακρατούμενον. ἜσΊω δὲ νέον καὶ ἐν 2
διπλώματι θερμαινέσθω· ἀποκρούεται γὰρ ἄνευ τραχύτητος καὶ
διαφορεῖ χωρὶς δήξεως, ὧν μάλισΊα χρεία τοῖς φλεγμαίνουσι. Ποιεῖ
δὲ καὶ τὰ πρὸς ὀδονταλγίας ἀναγεγραμμένα· ἰδιαίτερον δὲ ὄξος 3

66. SUBSTANCES QUI DONNENT DE LA BLANCHEUR ET DE L'ÉCLAT AUX DENTS ET DESSÈCHENT LES GENCIVES.

La cendre un peu grosse des huitres, des buccins, des pourpres, la 1
pierre ponce, les têts des fourneaux, blanchissent les dents. Si l'on brûle 2
ces substances avec du sel, elles ont encore plus d'effet sur les dents,
en même temps qu'elles dessèchent les gencives très-humides. L'écaille 3
de la sèche non brûlée et pilée donne aussi de l'éclat aux dents. La corne 4
de cerf et de chèvre blanchit les dents et tarit l'humidité des gencives.

67. AFFECTIONS DES GENCIVES : INFLAMMATION, FLUX, CORROSION, *ÉPULIS*.

L'huile pure de lentisque est un excellent remède pour les gencives 1
enflammées et douloureuses; on la tiendra chaude dans la bouche.
L'huile doit être nouvelle et chauffée dans un vase double : car, dans 2
de telles conditions, ce remède repousse sans piquer et dissipe sans
mordication, qualités qui sont surtout utiles contre l'inflammation. On 3
doit aussi rappeler ici les substances désignées contre les douleurs de

Ch. 66; l. 6-7. κέρας... ξηραίνει om. Verss. antiq. — Ch. 67; l. 8. Οὔλων δὲ διὰ φλεγμ. ὀδυν.] Gal.; Οὔλων δὲ δ. φλ. γινομένων καὶ ὀδ. Codd.; *Ad gingivarum inflammationem cum dolore existentem* Verss. antiq. — 9. διὰ θερμοτ. F.

4 ἐναφεψημένης ὑοσκυάμου ῥίζης. Ἐπὶ δὲ τῶν ῥευματιζομένων καὶ
περιβεβρωμένων μετὰ ἐξοιδήσεώς τε καὶ ὀδύνης καὶ ὑπονεμομένων
ἄκρως, ποιεῖ πυρία ἥδε· μηλωτίδι ἔριον περιειλήσας εἰς ζεστὸν
ἔλαιον ἀπόβαπτε καὶ προσάγαγε τοῖς οὔλοις, ἕως ἐξομαλισθῇ, καὶ
λευκὰ τὰ οὖλα κύκλῳ γένηται· οὕτω γὰρ ἴσταταί τε ἡ νομὴ, καὶ
5 ἐξ ὑγιοῦς τῆς σαρκὸς τὸ περιβρωθὲν τρέφεται. Μετὰ δὲ ταῦτα χρῶ
προστρίμματι τῇ κηκίδι λειοτάτῃ ὡς ὀξύβαφον μετὰ σμύρνης, ὡς
6 κυάμου τὸ μέγεθος· χρῶ λείοις ξηροῖς. — Ἐπὶ δὲ τῶν ἐπουλίδων
προσάπτου χαλκάνθου καὶ μυρσίνης ἴσα μετὰ ὀλίγης σχιστῆς.

ξη'. Περὶ τῶν αἱμασσομένων οὔλων.

1 Αἱμασσομένοις δὲ οὔλοις ἄκρως ποιεῖ ὑγρὰ στυπτηρία μετὰ δι-
2 πλοῦ ἀλόης συναπτομένης. Ἢ σχιστῇ καὶ μυρσίνῃ λειοτάτοις πα-
ράτριβε· στυφθέντων δὲ, μέλιτι χρίε.

dents; mais le vinaigre dans lequel aura cui la jusquiame est un des re-
4 mèdes les plus appropriés. Pour les gencives qui sont attaquées d'un
flux, corrodées, tuméfiées, douloureuses et profondément rongées, on
emploiera utilement la fomentation suivante : enroulez de la laine autour
d'une sonde; trempez cette laine dans l'huile bouillante et appliquez-la sur
les gencives jusqu'à ce qu'elles soient égalisées et qu'elles blanchissent
circulairement; on arrête ainsi la corrosion et ce qui était rongé se
5 nourrit de chair saine. On emploie ensuite le dentifrice où entre de la
noix de galle réduite en poudre impalpable, autant qu'en peut contenir
un oxybaphe, avec de la myrrhe gros comme une fève : après avoir pilé
6 et séché, faites-en usage. — Contre l'*épulis* (*petite excroissance de chair
sur les gencives*), employez le vitriol bleu et la myrrhe, parties égales,
avec une petite quantité d'alun de plume.

68. DES GENCIVES SANGUINOLENTES.

1 L'application de l'alun liquide avec le double d'aloès est le remède
2 par excellence pour les gencives sanguinolentes. Ou encore frottez avec
de l'alun de plume et de la myrrhe pilés très-fin; puis oignez avec du
miel quand l'astringence est opérée.

5. ἡ νομὴ] ἠνομένον V; ἠνωμένον M.

ξθ'. Περὶ τῶν ἐν τῷ στόματι παθῶν, φλεγμονῆς καὶ ἄφθας.

Ἐπὶ δὲ τῆς ἐν τῷ στόματι φλεγμονῆς ὅταν μὲν πᾶν τὸ στόμα 1
φαίνηται πληθωρικὸν ἢ κακόχυμον, φλεβοτομίᾳ δεόντως χρώμεθα,
καὶ καθάρσει καὶ κλυστῆρσι καὶ ἀσιτίαις. Εἰ δὲ μηδέτερον εἴη τού- 2
των, ἐπὶ τῶν τοπικῶν ἴασιν εὐθὺς ἀφικνούμεθα, κατὰ ἀρχὰς μὲν
ἀναστέλλοντες διὰ τῶν στυφόντων καὶ ψυχόντων, οἷον ἐστὶ τὸ διὰ
μόρων, προσλαβὸν ὄμφακος, ἢ ῥόδων ἄνθος ἢ αὐτὰ τὰ ῥόδα ξηρὰ,
βαλαύστιόν τε καὶ κύτινοι καὶ κηκίδες ὀμφακίτιδες, καὶ στυ-
πτηρία, καὶ ῥοῦς, καὶ γλαύκιον, καὶ ἀφέψημα μυρσίνης καὶ σχιστῆς.
Καὶ ἀρκεῖ τὸ διὰ μόρων τὸ τοῦ κρόκου καὶ τῆς σμύρνης προσει- 3
ληφὸς εἰς τὸ πέψαι τὴν φλεγμονήν. Συμπεφθείσης δὲ αὐτῆς ἤδη, 4
καί [τι] τῶν διαφορούντων μίγνυμεν, τὸ ἀφρόλιτρον, καὶ τὸ λίτρον ἢ τὸ
θεῖον ἄπυρον, ὅπερ ἐστὶν ἁπάντων ἰσχυρότερον. Ἐνίοτε δὲ σίραιον 5
ἢ μελίκρατον αὐτῷ μίγνυμεν, ἐνεψημένου ὀριγάνου ἢ ὑσσώπου ἢ
γλήχωνος ἢ θύμου ἢ θύμβρας ἢ καλαμίνθης· ἐπενοήθη γὰρ τὰ
μέσα φάρμακα ταῖς δυνάμεσιν, ὥστε ἐπὶ τῆς χρείας μιγνύειν τὰ

69. DES AFFECTIONS DE LA BOUCHE, DE L'INFLAMMATION ET DES APHTHES.

Lorsqu'il y a une inflammation dans la bouche, si tout le corps 1
semble pléthorique ou plein de mauvaises humeurs, nous avons avec
succès recours à la saignée, aux purgations, aux lavements et à la diète.
Si aucun de ces deux cas n'existe, nous employons les remèdes exté- 2
rieurs, et d'abord les astringents et les réfrigérants, tels que le médi-
cament aux mûres mêlées avec du verjus, ou la fleur du rosier, ou les
roses elles-mêmes sèches, le grenadier sauvage, les premières fleurs du
grenadier, la noix de galle verte, l'alun, le sumac, le glaucium et une dé-
coction de myrte et d'alun de plume. Ensuite, pour amener l'inflamma- 3
tion à coction, il suffira du médicament aux mûres où entrent du safran
et de la myrrhe. Lorsque l'inflammation sera mûre, on aura recours aux 4
résolutifs : l'*aphronitron*, la soude brute, le soufre vif, substance qui
est, entre toutes, la plus efficace. Quelquefois nous ajouterons du vin 5
cuit ou du mélicrat où l'on aura fait cuire de l'origan, ou de l'hysope,
ou du pouliot, ou du thym, ou de la sarriette, ou de la *calaminthe;* en
effet les médicaments qui ont une vertu moyenne ont été imaginés afin

7. κύτ. Gal ; κωτίνη Codd. — 11. [τι] Gal.; om. Codd. — 14. ἢ θύμου om. M.

6 ἁρμόττοντα. Κατὰ μέντοι τὰς ἀκμὰς τῶν φλεγμονῶν ὀλιγάκις μὲν
χρῆσθαι δεῖ τοῖς στοματικοῖς φαρμάκοις, διακλύσμασι μὲν καὶ
ἀνακογχυλίσμασι παρηγορητικωτέροις πέπτειν τὴν φλεγμονὴν,
οἷον ἐστὶ τό τε διὰ τῶν ἰσχάδων καὶ τὸ διὰ τῶν πιτύ-
ρων ἀφέψημα, καὶ τὸ σχίνινον ἔλαιον ἐπὶ διπλοῦ σκεύους χλιαινό-
7 μενον. Ἀλλὰ καὶ αὐτὸ τὸ στοματικὸν ἐν ταῖς ἀκμαῖς ἀνακογχυλί-
σασθαι δύναταί τις μιγνύμενον ὑδαρεῖ τε μελικράτῳ καὶ θερμῷ
8 σιραίῳ· μὴ παρόντων δὲ τούτων, ὕδατι θερμῷ. Τούτων μεμνημέ-
νος (?) ῥᾳδίως ἐκ τῆς παρούσης ὕλης εὐπόριστον συντιθέναι δυνήσῃ
9 φάρμακον. — Τῶν δὲ ἑλκῶν τῶν ἐν τοῖς στόμασι, ὅσα μέν ἐστι
πλαδαρὰ, τῶν ξηραινόντων ἰσχυρῶς δεῖται φαρμάκων, οἷον τοῦ δι-
10 φρυγοῦς, κατὰ αὐτό τε καὶ μετὰ μέλιτος ἢ οἰνομέλιτος. Ἀγαθὸν δὲ
11 καὶ τὸ τοῦ Μοῦσα, καὶ ὁ τοῦ ῥοῦ χυλὸς, καὶ ὀμφάκιον. Τὰ [δὲ]
ἁπλούστερα τῶν ἐν τοῖς στόμασιν ἑλκῶν ἱκανὰ θεραπεύειν ἐστὶ τὰ
12 στοματικά· τό τε διὰ μόρων καὶ βάτων. Καὶ τὰ ἄλλα ὅσα δὲ ἱκανῶς

que, le besoin s'en faisant sentir, on pût mêler ceux qui conviennent.
6 Dans la période d'état de l'inflammation il faut user rarement des mé-
dicaments stomatiques; cependant on doit rincer la bouche et se gargari-
ser avec ceux qui procurent la coction de l'inflammation : tels sont une
décoction de figues ou de son, et l'huile de lentisque chauffée dans un
7 vase double. Toutefois, dans la période d'état, le médicament même qui
est dit *stomatique* peut être employé pour rincer la bouche, pourvu qu'on
le mêle à l'hydromel trempé d'eau et à du vin cuit chaud, ou à l'eau
8 chaude, si on n'a pas ces derniers sous la main. Vous souvenant de tout
cela, vous pourrez confectionner un médicament avec une matière qui
9 se trouve facilement sous la main. — Parmi les ulcères de la bouche,
ceux qui sont très-humides demandent des médicaments qui dessè-
chent fortement, comme est le deutoxyde de cuivre, soit seul, soit avec
10 du miel ou du vin miellé. On emploie aussi utilement les pastilles de
11 Musa, le jus du sumac et le verjus. Les ulcères simples de la bouche
peuvent être guéris par les médicaments dits *stomatiques*, tel que celui qui
12 se fait avec des mûres et des ronces. Il y a danger que les ulcères de la

3. πέπτειν Gal.; περιττεύειν Codd.; *quæ digerunt* LL. — 8-9. μεμνημένους Codd.; *hoc ergo memoravi* LL. — 12. ἢ οἰνομέλιτος om. LL. — 13. [δέ] Gal.; om. Codd.

ὑγρὰ τῶν ἐν τοῖς στόμασιν ἑλκῶν πλησίον ἐστὶν ὀστῶν καὶ κίνδυνος σφακελίσαι, σφοδροτάτων δεῖται φαρμάκων· καὶ δὴ λεαίνοντας τῶν εἰρημένων τροχίσκων τινὰ ξηρὸν ἐπιτιθέναι τὸ φάρμακον· διὰ γὰρ τὴν ὑγρότητα καὶ θερμότητα τῶν ἐν τῷ στόματι μορίων, ταχέως ἐπιγίνεται σηπεδών· διὸ καὶ τοῖς ἰσχυροτάτοις φαρμάκοις
ἀναγκαζόμεθα χρῆσθαι πολλάκις ὑπὸ αὐτῶν. Ἰσχυρότερα δὲ ἐστὶν 13
ὅσα τὴν καλουμένην ἐσχάραν ἐργάζεται παραπλησίως τοῖς καυτη-
ρίοις. — Τὰς δὲ ἐπιπολῆς ἑλκώσεις ἐν τοῖς στόμασιν γινομένας 14
ἄφθας ἀναφέρουσι· γίνονται δὲ τοὐπίπαν αὗται τοῖς βρέφεσιν, ἐπὶ
τοῖς μετρίως στύφουσιν ἰώμεναι τὰ πολλά. Ποτὲ μὲν καὶ χρονί- 15
ζουσιν ἢ δύσλυτοι, καὶ τῷ χρόνῳ σηπεδονώδεις ἴσχουσί τι τὴν
καλουμένην νομήν. Ἐπὶ μὲν οὖν τῶν βρεφῶν, ὅσα ψωμίζουσιν αἱ 16
τροφοὶ, φακὴν μετὰ βραχέος ἄρτου καὶ μυελοῦ μοσχείου ἢ ἐλαφείου διδόναι χρή· μιγνύειν δὲ τῇ τροφῇ καὶ μήλων κυδωνίων καὶ τῶν ἄλλων ὅσα στύφει τῶν ἀπίων καὶ οὔων καὶ μεσπίλων· καί ποτε

bouche qui sont très-humides et proches des os ne soient frappés de sphacèle; ils exigent donc les médicaments les plus énergiques; en conséquence, nous faisons une poudre avec une des pastilles susdites et nous l'appliquons sèche; car, à cause de la chaleur et de l'humeur des parties qui sont contenues dans la bouche, la pourriture se produit promptement; aussi est-on forcé de recourir, pour ces ulcères, aux mé-
dicaments les plus énergiques. Ces médicaments sont ceux qui peuvent, 13
comme les cautères, produire une escarre. — On appelle *aphthes* les ul- 14
cérations superficielles de la bouche; ils naissent la plupart du temps chez les enfants, et on les traite surtout par les remèdes peu astringents.
Quelquefois ils deviennent chroniques ou sont d'une guérison difficile, 15
car ils produisent la pourriture et engendrent une affection qui est dite
νομή (c'est-à-dire *qui corrode en serpentant*). Il convient, en conséquence, 16
de donner aux enfants à qui les nourrices permettent déjà de manger, des lentilles avec un peu de pain et de la moelle de veau ou de cerf; on mêlera à leur nourriture des coings et autres fruits qui ont une vertu astringente, tels que les poires, les cornouilles, les nèfles; si les aphthes sont enflammés,

11. ἢ δύσλυτοι Gal.; ἢ δυσλύτως Codd.; om. LL. — Ib. ἔχουσι Gal.

καὶ θριδακίνης μιγνύειν τῷ ψωμίσματι, διαπύρου τῆς ἄφθης ὑπαρ-
17 χούσης. Εἰ δὲ μηδέποτε δύναιτο ψωμίζεσθαι, τὴν τροφὸν ἐπὶ τοῖς
18 τοιούτοις διαιτᾶν. Καὶ μέντοι καὶ διαχρίειν τὰ βρέφη φαρμάκοις,
ὑπερύθρων μὲν οὐσῶν τῶν ἀφθῶν, ἐν ἀρχῇ μὲν τοῖς μετρίως ψύ-
χουσί τε καὶ στύφουσιν, ἐφεξῆς δὲ τοῖς διαφοροῦσιν ἀδήκτως· ὑπο-
ξάνθων δὲ τοῖς αὐτοῖς μέν, ἀλλὰ μᾶλλον τοῖς ψύχουσιν· εἰ δὲ
ὑπόλευκοι καὶ φλεγματικώτεροι τυγχάνοιεν, τοῖς ῥυπτικοῖς· εἰ δὲ
19 μέλαιναι τοῖς διαφοροῦσι γενναιότερον. Ἐπὶ δὲ τῶν τελείων καὶ
σκληρὰ σώματα ἐχόντων ἤρκεσε μίσυϊ χρῆσθαι μετὰ οἴνου στύ-
φοντος, εἰ δὲ ὑπορύπαρος ἡ ἄφθα γένοιτο, σὺν οἰνομέλιτι τρίβειν·
τοῖς δὲ ἰσχυροτέροις ἢ κατὰ τὸ μίσυ φαρμάκοις χρῄζουσι, [ὁ ἰὸς]
20 σὺν οἴνῳ τε καὶ οἰνομέλιτι χρήσιμον [ὁμοίως]. Τὰ μὲν δὴ τοιαῦτα
δραστήρια· μέτρια δὲ καὶ μάλιστα πρὸς τὰς ἀρχομένας διαθέσεις,
21 ὀμφάκιον σὺν οἰνομέλιτι, καὶ ῥοῦς ὁμοίως. Ἐπὶ δὲ τῶν παιδίων
ἀρκεῖ καὶ τὸ τῶν ῥόδων ἄνθος καὶ αὐτὰ τὰ ῥόδα ξηρά.

17 on ajoutera de la laitue à la nourriture de l'enfant. Lorsque l'enfant ne
18 mange pas encore, on fera prendre tous ces aliments à la nourrice. Il
convient aussi d'oindre la bouche des petits enfants avec des médicaments;
si les aphthes sont rougeâtres, on appliquera, au début, les médicaments
qui rafraîchissent et resserrent modérément; puis on usera de ceux qui
dissipent sans mordication; s'ils sont jaunâtres, on emploiera les mêmes
remèdes, mais surtout les rafraîchissants; s'ils sont blanchâtres et pituiteux,
19 les abstergents; s'ils sont noirs, les résolutifs énergiques. Chez les enfants
plus grands et chez ceux dont les chairs sont fermes, il suffira de donner
du cuivre déliquescent dans du vin astringent; si l'ulcération aphtheuse
est un peu sordide, on prescrira le sulfate de cuivre déliquescent avec du
vin miellé; quant aux aphthes qui demandent des remèdes plus éner-
giques que cette espèce de cuivre, il sera également bon de prescrire le
20 vert de gris broyé avec du vin et du vin miellé. Les médicaments dont
nous venons de parler sont efficaces; mais les suivants ont une vertu
moyenne, surtout au début des affections: le verjus avec du vin miellé,
21 le sumac préparé de la même manière. Chez les petits enfants, la fleur
des rosiers et les roses sèches suffiront.

1-3. διαπύρου..... φαρμάκοις om. LL. — 7-8. τοῖς ῥυπτικοῖς..... γενναιότερον om. LL. — 11. [ὁ ἰὸς] Gal.; om. Codd. — 12. [ὁμοίως] Gal.; om. Codd.

ο'. Περὶ τῶν τοῦ κίονος παθῶν.

Φλεγμαίνοντος τοῦ κίονος, τῶν ἀνασΊελλόντων βοηθημάτων 1
χρεία· σΊυπΊικῆς οὖν αὐτὰ δεῖ δυνάμεως εἶναι. Μετρίας μὲν οὔσης 2
ἐπιῤῥοῆς, μετρίως σΊυφούσης, σφοδροτέρας δὲ, τῆς σΊρυφνῆς. Δια- 3
κλύσματα μὲν οὖν μέτρια, τά τε διὰ τῶν φοινίκων ἐσΊὶν ἐναφεψη-
μένων, ποτὲ μὲν ὕδατι μόνῳ, ποτὲ δὲ καὶ βραχέος μέλιτος ἐμβε-
βλημένου· καὶ [τὸ διὰ] ῥόδων, ἑλίκων ἀμπέλου καὶ βάτου, σχίνων,
καὶ τερμίνθων καὶ κύπρου καὶ ὑποκυσΊίδος· τούτων δὲ ἰσχυρότερα
τό τε τῆς μυρσίνης ἀφέψημα, καὶ τὸ τῶν σΊρυφνῶν κυδωνίων μή-
λων, ἀκρεμόνων τε πρίνου καὶ φηγῶν, βαλάνων τε αὐτῶν, μεσπί-
λων τε καὶ κράνων καρπῶν· γενναιότατα δὲ κηκίδων τε καὶ ῥοῦ καὶ
βαλαυσΊίων καὶ κυτίνων [καὶ] σιδίων. Τούτων ἑκάσΊου κατὰ μό- 4
νας [ἢ] μετὰ ἀλλήλων ἑψηθέντων, ἀνακογχυλιάζεσθαι δεῖ τῷ ὕδατι.
Ξηροῖς δὲ λειωθεῖσι προσάπΊεσθαι τοῦ γαργαρεῶνος, ἀτρέμα πως 5
προσάγοντα πρός τε τὴν ἄνω χώραν καὶ τὴν ἐκτὸς, ὡς ἐπὶ

70. DES AFFECTIONS DE LA LUETTE.

Lorsque la luette est enflammée, recourez aux remèdes qui répriment; 1
ils doivent avoir une vertu astringente. Si le flux est faible, la faculté 2
astringente doit être faible aussi; si le flux est violent, elle doit être
plus forte. Ainsi les collutoires doux sont ceux qui se font avec des 3
dattes cuites dans l'eau seulement ou avec un peu de miel; on a aussi le
médicament aux roses, ceux aux vrilles de vigne, aux ronces, au len-
tisque, aux fruits de térébenthinier, à l'alcanna et à l'*hypocystis;* les mé-
dicaments les plus énergiques sont les décoctions de myrte, de coings
âpres, de branches d'yeuse et de hêtre, ou de leurs fruits, de nèfles, de
cornouilles; les plus généreux sont la décoction de noix de galle, de su-
mac, de fleurs de grenadier sauvage, de fleurs et d'écorce de grenadier.
On fera cuire ces substances, soit ensemble, soit séparément, et l'on se 4
gargarisera avec la décoction. On touchera avec ces substances séchées et 5
réduites en poudre la luette, qu'on aura attirée peu à peu vers la région
supérieure et antérieure du côté de la langue; on projettera avec une

Ch. 70; l. 6. [τὸ διά] Gal. om. Codd. — 10. κράνων καρπῶν] *castaneæ* LL. — 11. [καί] Gal.; LL; om. Codd. — 12. [ἢ] *aut* LL.; om. Codd. — 14. προσάγοντος Codd.

τὴν γλῶσσαν· ἐμβεβλήσθω δὲ κοχλιαρίῳ λελειούμενα ξηρὰ τὰ φάρμακα· διὰ γὰρ τῶν τοιούτων εἰς τὴν κατὰ φύσιν ἐπανάγειν προσήκει τὸν γαργαρεῶνα παντὶ τρόπῳ, καὶ μὴ σπεύδειν ἐκτέμνειν.
6 Ὅταν δὲ ἰσχνὸς καὶ ἱμαντώδης γένηταί ποτε τηνικαῦτα ἀφαιρεῖν·
7 τοιοῦτον δὲ αὐτὸν ἐργάζεται χρόνος μακρός. Μετὰ τὴν τομὴν δὲ ἀεὶ τῷ διφρυγεῖ μόνῳ παραχρῆμά τε καὶ μέχρι συνουλώσεως χρῆσθαι· τὴν γὰρ οὐλὴν ἀκριβῶς ἐσφιγμένην ἐργάζεται καὶ τούτου τοῦ μορίου, καὶ πάντων τῶν ἡλκωθέντων.

οα'. Περὶ τῶν κατὰ παρίσθμια φλεγμονῶν.

1 Τὰς δὲ κατὰ τὰ παρίσθμια φλεγμονὰς καὶ ἀντιάδας ἀναπιέζειν δεῖ φαρμάκῳ τινὶ τῶν ὠφελῆσαι δυναμένων προχρίσαντες τοὺς δακτύλους· μάλιστα γὰρ ἐπὶ τῶν ἀδένων τῶν τῇδε φλεγμαινόντων, τρόπος οὗτος τῆς θεραπείας ἁρμόττει· χαῦνοι γὰρ ὄντες καὶ σηραγγώδεις οἱ τόποι ῥᾳδίως τε δέχονται τὸ ῥεῦμα καὶ προπετέστεροι γίνονται καὶ πνευματοῦνται.
2 Ὅταν δὲ ἐπὶ προσήκοντι τῷ χρόνῳ

cuiller les médicaments séchés et réduits en poudre; car, de cette façon, on arrivera à ramener la luette à son état parfaitement normal; il ne
6 faut pas se hâter de l'inciser. Si, s'allongeant, elle devient grêle et semblable à une courroie, comme il arrive après un long espace de temps,
7 alors on fera l'excision. Après l'opération, on usera du deutoxyde de cuivre immédiatement et jusqu'à ce que la cicatrice soit formée; cette substance, en effet, produit une cicatrice étroitement fermée dans cette partie et dans toutes celles qui ont été ulcérées.

71. DE L'INFLAMMATION DES AMYGDALES.

1 Dans les inflammations des amygdales et les tumeurs dites *ἀντίαδες*, on introduira les doigts enduits d'avance d'un médicament approprié, et on pressera la glande; en effet, pour les glandes enflammées, ce moyen de traitement convient parfaitement, attendu que ces parties, étant lâches et caverneuses, sont disposées à recevoir facilement le flux de l'humeur et
2 à se gonfler. Lorsque, en temps voulu, l'inflammation a mûri et que les

7. ἐσφιγμένην] ἐσφαγίσμενην Gal.; προσχρίσαντες Codd. — 12. γάρ] *tamen constrictam* Verss. antiq. — Ch. 71; l. 10. Verss. antiq.

τά τε τῆς φλεγμονῆς εἴδη ϖέττηται, καί τινος ὑγροῦ γλίσχρου
ϖλήρεις ὦσιν οἱ ἀδένες, ϖροσμιγνύντες τῷ στοματικῷ φαρμάκῳ
νίτρον ἢ ἅλας ἤ τι τῶν τοιούτων, κενώσομεν τὸ φλέγμα. Τῆς μέν- 3
τοι φάρυγγος αὐτῆς φλεγμαινούσης, οὔτε φαρμάκῳ τοιούτῳ χρη-
στέον, οὔτε ἀναπιεσμῷ διὰ τὴν ἁπαλότητα τῶν σαρκῶν.

οβ'. Περὶ συνάγχης.

Ὅταν δὲ ὑπὸ συνάγχης ϖνίγωνταί τινες, γινώσκειν μὲν ὡς ἐπι- 1
κίνδυνός ἐστιν ἡ διάθεσις, καὶ ϖλέον εἴσω τῆς φλεγμονῆς ἐρειδού-
σης, ὡς μηδὲν ἔξω διασημαίνειν· καὶ ἔτι μᾶλλον εἰ ἀμφότερα τὰ
ϖαρίσθμια φλεγμαίνει, καὶ εἰ ὁ γαργαρεὼν συμπάσχοι. Προσήκει 2
δὲ ὡς ὅτι τάχιστα κενῶσαι διὰ φλεϐοτομίας τὸ ϖᾶν σῶμα. Μὴ 3
ϖαρόντος δὲ τοῦ τὴν φλέϐα τεμεῖν δυναμένου, σχάσαντες τὰς κνή-
μας συγχωρεῖν ὡς ὅτι ϖλεῖστον ἀποῤῥεῖν· χρῆσθαι δὲ καὶ κλυ-
στῆρσι δριμέσι, καὶ ἐν ἀσιτίᾳ φυλάττειν τὸν ἄνθρωπον ἄῤῥωστον,
ὡς μετὰ ταῦτα ϖεριλαμϐάνειν τὸν τράχηλον ἑλκτικὴν δύναμιν ἔχοντι

glandes sont remplies d'une certaine humeur glutineuse, nous mêlerons
au médicament stomatique de la soude brute, ou du sel, ou quelque
substance de même nature, et ainsi nous évacuerons la pituite. Lorsque 3
la gorge elle-même est enflammée, on n'usera pas de ce médicament
et l'on ne recourra pas non plus à la pression, à cause de la mollesse de
la chair.

72. DE L'ANGINE.

Lorsqu'une angine cause de la suffocation, il est bon de savoir qu'il 1
y a du danger, surtout si l'inflammation se fixe à l'intérieur quoique rien
n'apparaisse au dehors; mais un danger bien plus grand menace, si l'in-
flammation envahit les deux amygdales et la luette. Il est alors néces- 2
saire d'évacuer au plus tôt tout le corps par la saignée. S'il n'y a per- 3
sonne qui puisse pratiquer la saignée, on scarifiera les jambes en lais-
sant couler longtemps le sang; on usera aussi de lavements âcres, et le
malade ne prendra aucune nourriture; puis vous appliquerez sur le cou
un médicament qui possède des vertus attractives; si en effet la matière qui

CH. 72; l. 11. σχάσαντες] *calaxandi sunt* Verss. antiquiss.

φαρμάκῳ· τῆς γὰρ σφηνωθείσης ἐν τοῖς μορίοις ὕλης ἑλκυσθείσης,
4 ὡς οἰδήσαντα ἔξω, πᾶσα ἐλπὶς τοῦ σωθῆναι τὸν ἄνθρωπον. Καὶ ἀνα-
κογχυλιάζειν δὲ τῷ τῆς πτισάνης χυλῷ συμφέρει λεπτοτέρῳ μετὰ
μέλιτος, καὶ τῷ τῶν ἰσχάδων ἀφεψήματι, καὶ τοῦ ὑσσώπου καὶ τοῦ
ὀριγάνου καὶ πρασίου· διαφοροῦνται γὰρ οἱ ἐν τοῖς μορίοις σφη-
5 νωθέντες γλίσχροι καὶ παχεῖς χυμοί. Ποιεῖ δὲ ἄκρως πρὸς συνάγ-
χην κυνεία κόπρος λευκὴ ξηρανθεῖσα, λειωθεῖσά τε καὶ σεισθεῖσα
6 μέλιτι δευομένη καὶ διαχριομένη. Γενναιότερον τούτου φάρμακον
ἐπὶ συνάγχης, οὐκ ἄν τις εὕροι· χρὴ δὲ ὀστᾶ μόνον φαγεῖν τοὺς
7 κύνας. Λίνα πλείονα καὶ μάλιστα τῶν ἀπὸ τῆς θαλαττίας πορφύρας
εἰ περιβαλὼν ἐχίδνης τραχήλῳ πνίξειας αὐτὴν τὴν ἔχιδναν, εἶτα
περιάπτοις ἓν ἐκ τῶν λίνων τῷ τραχήλῳ, θαυμαστῶς ὅσονπερ
ὀνίνησι, παρίσθμιά τε καὶ ὅσα περὶ τράχηλον ἐκβλαστάνει.

ογ'. Πρὸς τὰ καταπινόμενα ὀστέα καὶ ἀκάνθας.

1 Τὰ δὲ καταπινόμενα ὀστέα ἢ ἀκάνθας καὶ ἐμπηγνύμενα τῷ στο-

s'est fixée dans ces parties en est chassée, de façon que la tumeur se
4 porte au dehors, on aura tout espoir de conserver le malade. Alors on se
gargarisera soit avec le suc très-ténu de ptisane, mêlé au miel, soit avec
une décoction de figues sèches, ou d'*hysope*, d'origan et de marrube; on
dissipera ainsi les humeurs glutineuses et épaisses qui se sont fixées dans
5 les parties. Les excréments blancs du chien, séchés et réduits en poudre,
passés au crible, délayés dans du miel, et dont on fait des onctions,
6 ont un effet merveilleux contre l'angine. On ne trouverait pas contre
l'angine un remède plus efficace; mais il faut que le chien n'ait mangé
7 que des os. En outre, si on lie des fils, surtout ceux qui se font avec la
pourpre marine, au cou d'une vipère, et qu'on l'étrangle avec ces fils,
puis qu'on en attache un au cou de la personne malade, on soulagera
notablement les amygdales et les incommodités de toute espèce qui attaquent le cou.

73. DES ARÊTES ET DES OS FIXÉS DANS LE GOSIER.

1 On extraira les arêtes et les os qui se sont enclavés dans le gosier,

12. ὅπερ Codd.; *quomodo* Verss. antiq.

μάχῳ κομίζουσι σπόγγιον, ἢ κρέαδινον ἐντετμημένον ἐνάψας λίνῳ
καὶ ἀναγκάσας καταπίνειν, καὶ μετὰ ταῦτα ἀνασπάσας ἀθρόως διὰ
τοῦ ἀπηρτημένου λίνου· εἴωθε γὰρ συνεφέλκεσθαι τὸ ἐμπεπηγός.
Δεῖ δὲ καὶ ἄρτου ἁπαλοῦ τὸ ἐντὸς διδόναι καταπίνειν, καὶ σῦκα 2
ξηρὰ μεμασημένα.

οδ'. Περὶ τῶν στοματικῶν φαρμάκων τῶν φλεγμαινόντων παρισθμίων ἢ σταφυλῆς ἢ τινος ἄλλου μέρους.

Διὰ μόρων ἁπλοῦν· Τῶν μόρων τοῦ χυλοῦ κοτύλας πέντε, προ- 1
εψήσας ἄχρι γλοιώδους συστάσεως, πρόσβαλλε μέλιτος λίτραν
μίαν καὶ ἕψε μέχρι μελιτώδους συστάσεως. Ἐπὶ δὲ τῆς χρήσεως, 2
ἐν μὲν ταῖς ἀρχαῖς μίγνυε καθάπερ εἴρηται τὰ ἀποκρουστικά· κατὰ
δὲ τὰς ἀκμὰς τὰ πέττοντα καὶ παρηγοροῦντα· κατὰ δὲ τὰς παρ-
ακμάς, τὰ διαφοροῦντα. Κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ διὰ τοῦ 3
χυλοῦ τῶν λεμμάτων τῶν καρύων, ποιήσεις στοματικὸν φάρμακον,
καὶ διὰ τοῦ γλεύκους ἐξ αὐστηρῶν σταφυλῶν, καὶ ἀπὸ τοῦ χυλοῦ τῶν
ῥοιῶν καὶ τῶν ἄλλων τῶν αὐστηρῶν καρπῶν τῶν ἐχόντων χυλόν.
Παχεῖ μὲν οὖν φανέντι τῷ χυλῷ μέλι μιγνύειν εὐθέτως προσῆκεν· 4

avec une éponge ou avec un morceau de chair appendus à un fil, et que
le patient s'efforcera d'avaler, après quoi on tirera subitement l'éponge
ou le morceau de chair au moyen du fil qui a servi à les introduire; ce qui
s'était fixé dans le gosier sortira en même temps. On donnera aussi à 2
manger la mie de pain tendre et on fera mâcher des figues sèches.

74. DES MÉDICAMENTS STOMATIQUES; DE L'INFLAMMATION DES AMYGDALES, DE LA LUETTE OU DE TOUTE AUTRE PARTIE.

Médicament simple aux mûres : Faites cuire cinq cotyles de suc de 1
mûres jusqu'à ce qu'il devienne gluant, ajoutez une livre de miel et
faites réduire à la consistance du miel. Lorsque vous voudrez vous 2
servir de ce médicament, mêlez-y, au début de la maladie, comme il a été
dit (chap. 70), des répercussifs; dans la période d'état, des digestifs et
des lénitifs; dans le déclin, des dissipants. — On fait également un 3
médicament bon pour la bouche avec le suc de l'enveloppe des noix,
avec le moût de raisins âpres, avec le suc des grenades et autres fruits
âpres dont on peut tirer du suc. Le suc paraît-il épais, on devra y ajou- 4

5 εἰ δὲ ὑγρότερος εἴη, προεψηθέντι. Δέχεται δὲ ὁ μὲν τῶν ἀπίων καὶ
τῶν μήλων χυλὸς, ἔτι τε τῶν πλείστων ὀπωρῶν, ἴσον ἑαυτῶν τὸ
μέλι· τῶν στρυφνῶν δὲ ἱκανῶς, οἷόσπερ ἐστὶν ὁ τῆς κρανείας καρ-
6 πὸς, ἐνίοτε μὲν διπλάσιον· [ἔστι δὲ ὅτε καὶ τριπλάσιον.] Τοῖς μὲν οὖν
μὴ φέρουσι τὰς φαρμακώδεις ποιότητας, ἐπὶ μὲν τῶν μετρίων φλεγ-
μονῶν παρισθμίων ἢ σταφυλῆς ἢ ἄλλου τινὸς μέρους, ἀρκοῦσι τῶν
7 εἰρημένων ἄρτι καρπῶν οἱ χυλοὶ, καὶ ὁ ῥοῦς ὁ ἐπὶ τὰ ὄψα. Πρὸς δὲ
τὰς μείζονας τῶν ῥοιῶν χρὴ τῶν αὐστηρῶν τὸν χυλὸν ἢ τῶν κυδω-
νίων μήλων καὶ ἀμφοτέρων κατὰ τὴν εἰρημένην ἀναλογίαν μίξαι
8 μέλιτος, καὶ γίνεται σύμμετρον. Κάλλιον δὲ καὶ σφόδρα ἂν τὰς ὅλας
9 κόψας ῥοιὰς ἐνεψήσας γλεύκει. Δεῖ δὲ μὴ μόνον ἀποκρουστικὸν
ἔχειν φάρμακον, ἀλλὰ καὶ διαφορητικὸν εἰ σκιῤῥούμενόν τι φαί-
νοιτο· τοῖς εἰρημένοις οὖν μέσοις ἐμβαλεῖς ἑψομένοις γλήχωνος ἢ
ὑσσώπου ἢ ὀριγάνου ἢ θύμου ἢ καλαμίνθης διειθίσας· οὕτω γὰρ
ἕξεις ἐπιτήδειον φάρμακον.

ter du miel en suffisante quantité; s'il est trop liquide, on le fera re-
5 cuire. On peut mêler aussi une partie égale de miel au suc des poires,
des pommes et de beaucoup d'autres fruits d'automne; s'ils sont très-
âpres, comme ceux du cornouiller, on mêlera quelquefois le double de
6 miel, quelquefois le triple. Quand les personnes qui supportent dif-
ficilement les substances médicamenteuses sont prises de légères inflam-
mations des amygdales, de la luette ou de toute autre partie, il suffira
de donner le suc des fruits dont je viens de parler, puis le sumac comes-
7 tible. Pour les grandes inflammations, on emploiera le suc des grenades
âpres ou des coings, ou des deux, incorporé, comme on l'a dit (l. 2),
8 avec du miel; on obtient ainsi un médicament d'une force modérée. Le
mieux, certes, est de couper les grenades en quartiers et de les faire
9 cuire dans du vin d'un goût sucré. S'il se produit quelque dureté, le
médicament doit avoir, outre la force répercussive, une vertu réso-
lutive; on joindra donc aux substances de qualités moyennes que nous
avons indiquées, après une demi-coction, du pouliot, ou de l'hysope,
ou de l'origan, ou du *thym*, ou de la calaminthe; ensuite vous passerez
à la chausse; on obtiendra ainsi un médicament convenable.

4. [ἔστι δὲ ὅτε καὶ τριπλάσιον] Gal.; om. Codd.; *interdum autem et tripliciter* LL. — 6-7. ἀρκοῦσι... καρπῶν om. LL. — 9. ἀναλογίαν Gal.; *rationem* LL; ἀλόης Codd.

οε'. Πρὸς τὰς ἐν στόματι σηπεδόνας.

Χάρτου κεκαυμένου μέρη γ', ἀρσενικοῦ μέρος ἕν, λείοις χρῶ· 1
ἄνωθεν δὲ τιλτὸν προσεπιτίθει βάψας εἰς ῥόδινον καὶ ἐκθλίψας. —
Ἄλλο πρὸς μεγάλας σηπεδόνας τὰς ἐν τῷ στόματι καὶ τὰς ἐν 2
ἄλλῳ μέρει τοῦ σώματος· χαλκίτεως μέρος ἕν, κονίας ἀσβέστου τὸ
ἴσον, ἀρσενικοῦ τὸ ἥμισυ· λεῖα μίξας, χρῶ. — Ἐὰν δὲ ξηραίνηται τὸ 3
στόμα καὶ τὸ σίελον μὴ δύνηται καταπίνεσθαι, σῦκα ἑψήσας ἐν οἴνῳ αὐστηρῷ ἀκράτῳ, δίδου θερμὸν καταρροφεῖν· ἐὰν δὲ μὴ δύνηται, παρέγχει κατὰ ὀλίγον.

ος'. Περὶ τῶν ἐν τῇ τραχείᾳ ἀρτηρίᾳ ἑλκῶν.

Τὰ ἐν ταῖς τραχείαις ἀρτηρίαις συνιστάμενα ἕλκη τὸν ἔνδον αὐ- 1
τῶν χιτῶνα θεραπεύομεν ἔξωθέν τι τῶν ξηραινόντων ἐπιτιθέντες φαρμάκων, ὕπτιόν τε κατακλίνοντες, εἶτα διδόντες ὑγρὸν φάρμα-
κον τὸν πρὸς τὰ ἕλκη. Τοιαῦτα ἐν τῷ στόματι κατέχειν καὶ βραχύ 2
τι παραρρεῖν ἐᾶν εἰς τὴν ἀρτηρίαν παρακελεύομεν.

75. CONTRE LES ULCÉRATIONS PUTRIDES DE LA BOUCHE.

Prenez trois parties de papier brûlé, une d'orpiment; pilez et faites- 1
en usage; appliquez par-dessus des brins de fil enduits de suc de rose et
exprimez. — *Autre médicament efficace contre les grandes ulcérations putrides* 2
de la bouche et d'autres parties du corps : Prenez une partie de cuivre pyriteux, autant de chaux vive, une demi-partie d'orpiment; pilez, mêlez
et faites-en usage. — Si la bouche est sèche et qu'on avale difficilement 3
la salive, faites cuire des figues dans du vin âpre et pur et donnez à boire cette décoction chaude; si le malade ne peut l'avaler, entonnez-la-lui petit à petit.

76. DES ULCÈRES DE LA TRACHÉE-ARTÈRE.

On traitera par l'application à l'extérieur d'un médicament desséchant 1
les ulcères qui attaquent la membrane interne de la trachée artère; le malade doit être, en outre, couché sur le dos; puis on versera dans la
bouche du malade un médicament liquide approprié à ces ulcères. Il le 2
gardera quelque temps dans sa bouche et l'avalera goutte à goutte afin qu'il coule insensiblement dans le gosier et arrose la trachée.

οζ'. Πρὸς φωνῆς ἀποκοπήν.

1 Χυλὸν κράμβης μετὰ μέλιτος ἑψήσας, δίδου ἐκλείχειν. — Ἄλλο·
2 ποιεῖ δὲ καὶ πρὸς βῆχας· Λινοσπέρμου κεκαυμένου καὶ σεσησμένου, σταφίδων λιπαρῶν, χωρὶς τῶν γιγάρτων, στροβίλων πεφωγμένων, καρύων ποντικῶν κεκαθαρμένων, ἴσα λεάνας καὶ μέλιτι
3 ἀπέπτῳ ἀναλαβὼν, δίδου κοχλιάριον ὑπὸ γλῶτλης. — Πρὸς τὰς τῆς φωνῆς ἀποκοπάς· Γλυκυρίζης ∠ η', σμύρνης ∠ κδ', τερεβινθίνης ∠ ς', τραγακάνθης ∠ η'· ἕκαστον τῶν ξηρῶν κόπτε κατὰ ἰδίαν καὶ σῆθε· τὴν δὲ ῥητίνην εἰς ὅλμον βαλὼν, κόπτε καταπάσσων τὰ ξηρά· εἶτα ἑνώσας, ἀνάπλαττε κυάμου αἰγυπτίου [τὸ] μέ-
4 γεθος, καὶ ξήραινε ἐν σκιᾷ. Ἐπὶ δὲ τῆς χρήσεως, δίδου ἓν ἢ β' ὑπὸ
5 τὴν γλῶτταν κατέχειν, καὶ τὸ τηκόμενον παραπέμπειν. Δεῖ δὲ τὸ φάρμακον ταχέως ἀναπλάττειν καὶ ἐν τῷ κόπτεσθαι· ξηραίνεται γὰρ τάχιστα.

77. DE L'EXTINCTION DE VOIX.

1 Faites cuire du jus de chou avec du miel et donnez ce mélange en
2 éclegme. — *Autre qui est bon aussi pour la toux :* Broyez à parties égales de la graine de lin brûlée et passée au crible, des raisins secs gras après en avoir enlevé les pepins, des fruits du pin rôtis, des noix du Pont mondées, le tout incorporé avec du miel cru; on introduira une
3 cuillerée du mélange sous la langue. — *Contre l'extinction de voix :* Huit drachmes de réglisse, vingt-quatre de myrrhe, six de térébenthine, trente-huit de gomme adragante; lorsque ces ingrédients sont secs, pilez chacun séparément et passez-le au crible; puis mettez de la résine dans le mortier et pilez en versant les poudres sèches; incorporez exactement et faites des pilules de la grandeur d'une fève d'Égypte,
4 puis laissez sécher à l'ombre. Quand vous voudrez faire usage de ces pilules vous en donnerez une ou deux à tenir sous la langue, et le ma-
5 lade les avalera au fur et à mesure qu'elles se liquéfieront. On doit se hâter dans la confection et dans la division de ce médicament, car il se dessèche promptement.

Ch. 77; l. 5. ἀπέπτῳ Gal.; *non coctum* LL.; ἀπέφθῳ Codd. — 9. [τό] Gal.; om. Codd.

οη'. Περὶ βηχὸς καὶ δυσπνοίας καὶ καταῤῥου καὶ κορύζης καὶ βράγχου, καὶ τῶν ἐκ θώρακος καὶ ϖνεύμονος ϖτύσεων.

Βηχὸς αἴτιόν ἐστιν ὑγρὸν τὸ καταφερόμενον ἀπὸ τῆς κεφαλῆς, 1
ὡς ἐν καταῤῥοις, ἢ τὸ ἐν ταῖς τραχείαις ἀρτηρίαις ϖεριεχόμενον, ὡς
ἐν ϖλευρίτισι καὶ ϖεριπνευμονίαις. Γίνονται δὲ καὶ τραχύτητες φά- 2
ρυγγος καὶ ἀρτηρίας τῆς τραχείας αἴτια βηχὸς, καὶ τὰ ϖαρεμπί-
πτοντα ϖινόντων ἢ ἐσθιόντων, καὶ δυσκρασία ψυχρὰ ἀναπνευστικῶν
ὀργάνων. Βήττουσι δὲ μετρίως οἱ διὰ δυσκρασίαν βήττοντες καὶ 3
οὐδὲν ἀνάγουσιν, οὕτω δὲ καὶ ἀβιάστως ὡς μὴ μόνον [ἑαυτοὺς?]
κατέχειν δύνασθαι καὶ κωλύειν αὐτὴν τὴν κατοχὴν τοῦ ϖνεύματος,
ἀλλὰ καὶ ἰᾶσθαι ϖολλάκις αὐτὴν, τῇ τῆς ἀναπνοῆς ἐπισχέσει τὰ
κατεψυγμένα τῶν μορίων ἐκθερμαίνοντας. Σημεῖα δὲ τῶν οὕτω βητ- 4
τόντων ἐστὶ τὸ κατὰ τὰς ἀθρόας οὓς ἂν (οὔσας?) εἰσπνοὰς ἐρεθίζεσθαι,
δηλονότι τῆς ψύξεως ἐπιτεινομένης· ὅτε οὖν ϖράως τε εἰσπνέωσι,
καὶ ἐν οἴκῳ θερμῷ διατρίβωσιν, ἢ μικρὸν ἢ οὐδὲ ὅλως βήττουσιν.
Αἱ δὲ μετὰ γαργαλισμοῦ συνιστάμεναι βῆχες ἐνδείκνυνται σαφῶς 5
ἀπὸ τῆς κεφαλῆς συνδίδοσθαι τὸ ῥεῦμα εἰς ἀρτηρίαν τε καὶ ϖνεύ-

78. DE LA TOUX, DE LA DIFFICULTÉ DE RESPIRER, DU CATARRHE, DU CORYZA, DE LA RAUCITÉ DE LA VOIX, DES CRACHATS QUI SORTENT DU THORAX ET DU POUMON.

L'humeur qui descend de la tête est la cause de la toux, comme on 1
le voit dans les catarrhes; ou bien c'est l'humeur contenue dans la
trachée-artère, comme on le remarque dans les pleurésies et les péri-
pneumonies. Les aspérités de la gorge et de la trachée-artère produisent 2
aussi la toux; ce qui s'engage dans cette artère, quand nous buvons ou
mangeons, la produit également, ainsi que l'intempérie froide des organes
de la respiration. La toux qui vient d'une intempérie est légère, sans 3
expectoration, et tellement bénigne, qu'on peut non-seulement s'empê-
cher de tousser et retenir sa respiration, mais aussi, par cette rétention
même, porter remède à cette affection en réchauffant les parties refroi-
dies. Les signes caractéristiques de cette toux, c'est qu'elle arrive dans 4
les inspirations soudaines, attendu que le froid devient plus intense,
tandis qu'on toussera peu ou point si l'on inspire doucement et qu'on
habite une maison bien chauffée. Lorsque la toux est accompagnée de 5
picotement, c'est une preuve que le flux provient de la tête et se dirige

6 μονα. Μηδενὸς μὲν οὖν ἀναπΊυομένου, λεπΊὸν εἶναι χρὴ γινώσκειν
7 τὸ καταφερόμενον· ἀναπΊυόμενον δὲ τινὸς, τὸ ἐναντίον. Ἰασόμεθα
δὲ τὴν μὲν ἐπὶ λεπΊῷ ῥεύματι γιγνομένην βῆχα, καὶ τὴν ἐπὶ τρα-
χύτητι, παχύνοντες τῇ διὰ κωδυῶν ἤ τινι τῶν ἀνωδύνων καλουμέ-
νων Φαρμάκων· τῆς δὲ διὰ πάχος, καὶ γλίσχρον χυμὸν ἐγκείμενον
8 διὰ τῶν λεπΊυνόντων. Κενταυρίου τοῦ μεγάλου ἡ ῥίζα δυσπνοίαις
9 καὶ ταῖς πεπαλαιωμέναις ἁρμόζει βηξί. Μελάνθιον κατάῤῥους ἴᾶται
10 θερμὸν ἐν ὀθονίῳ προσαγόμενον, ὡς συνεχῶς ὀσμᾶσθαι. ΣΊύραξ
βῆχας, κατάῤῥους, καὶ κορύζας, καὶ βράγχους ὀνίνησιν ἐκλεικτόν.
11 Στρόβιλον βαλὼν ὅταν ᾖ λιπαρὸς μάλισΊα, τουτέσΊιν ἐν κύκλῳ
πολλὴν ἔχων ἐμπεριкεχυμένην τὴν ἰδίαν ῥητίνην, ἕψησον ἐν ὕδατι
μετὰ πρασίου προσφάτου, εἶτα τῷ ἀφεψήματι μίγνυε μέλι συμμέ-
τρως, ἕψησον πάλιν τοῦτο μέχρι μελιτώδους συσΊάσεως, καὶ χρῶ
πρὸς τὰς ἐκ θώρακος καὶ πνεύμονος πΊύσεις.

Ch. 79. (Περὶ ἀναγωγῆς καὶ θρομβώσεως αἵματος). = *Syn.* IX, 2.

Om. τὸ..... Καὶ τὸ, p. 467, 1; Καὶ μάλισΊα..... ποθεῖσα, p. 467, 8-9.

Ch. 80. (Πρὸς ἀσθματικὰ καὶ ἐμπυϊκούς). = *Syn.* IX, 5.

Om. Τοῖς λεγομένοις..... Καί, p. 471, 6; 472, 5; καὶ μετὰ τροφήν, p. 472, 13.

6 vers la trachée-artère et le poumon. Si l'on n'expectore rien, on saura
7 que le flux est ténu; dans le cas contraire, ce sera l'opposé. Nous trai-
terons la toux que produit un flux ténu et l'aspérité [qu'il cause?] en
épaississant ce suc par l'usage du diacode (*médicament aux têtes de pa-
vot*), ou de quelqu'un de ceux qui sont dits ἀνώδυνα (*anodins*); nous
emploierons les atténuants contre la toux qui est causée par une hu-
8 meur épaisse et visqueuse fixée dans la partie. La racine de la grande
9 centaurée guérit la difficulté de la respiration et les toux opiniâtres. La
nielle, mise chaude dans un linge et approchée souvent des narines,
10 arrête les catarrhes. Les toux, les catarrhes, les enchifrènements, les
11 raucités, sont soulagés par le styrax pris en éclegme. Faites cuire dans
l'eau, avec du marrube frais, les fruits du pin lorsqu'ils sont très-gras,
c'est-à-dire lorsqu'ils sont entourés d'une résine abondante; ajoutez du
miel à la décoction, en faible proportion, et faites cuire de nouveau
jusqu'à ce que le tout prenne la consistance du miel; puis ordonnez
ce médicament pour l'expectoration qui vient du thorax ou du poumon.

ϖα'. Πρὸς ϖλευριτικοὺς καὶ ϖρὸς ϖλευρῶν ὀδύνας.

Ἐπὶ τῶν ϖλευριτικῶν, τῶν θερμασμάτων μὴ λυόντων τὴν ὀδύ- 1
νην, κένου τὸ ϖᾶν σῶμα, καὶ ϖυρίᾳ τῇ ἀκινδυνωτάτῃ χρῶ τῇ ἀδήκτῳ καὶ ὑγρᾷ, οἷά ἐσ7ιν ἥ τε διὰ ὕδατος γλυκέος καὶ ἐλαίου ἐν κύσ7εσι.

Ch. 81. (Suite.) = *Syn.* IX, 7.

Om. Ἡ ἀκριϐὴς..... βοηθείας, p. 473, 6-10; ajoute ἢ καὶ τελέως αὐτῶν ϖεπαυμένα après φλεγμονῶν, p. 474, 1; τοῖς τοιούτοις après οὖν, p. 474, 2; donne τι βραχὺ μέλιτι, au lieu de τι τῷ μελικράτῳ, 474, 3-4.

Ch. 81. (Suite.) = *Syn.* IX, 8.

ϖβ'. Πρὸς θώρακος ἀλγήματα χρόνια.

Πρὸς ἀλγήματα χρόνια τὰ ἐν θώρακι χωρὶς ϖυρετῶν συνεψεῖν 1
τήλει χρὴ λιπαροὺς φοίνικας, ἐκθλίψαντας δὲ τὸν χυλὸν, εἶτα μέλιτι μίξαντας δαψιλεῖ· κἄπειτα ἑψήσαντας αὐτὰ ἐπὶ ἀνθράκων ἄχρι ϖάχους συμμέτρου, χρῆσθαι ϖρὸ ϖολλοῦ τῶν σιτίων.

Ch. 83. (Πρὸς τιτθοὺς καὶ τὸ ἐν αὐτοῖς γάλα.) = *Syn.* IX, 9.

Om. Χοῖρον..... μασ7ῶν, p. 475, 10-12.

Ch. 84. = *Syn.* IX, 10.

Om. μοχθηρὰ..... γασ7ρός, p. 479, 3.

81. CONTRE LA PLEURÉSIE ET LES DOULEURS DE CÔTÉ.

Dans la pleurésie, quand les applications chaudes ne dissipent pas la 1
douleur, évacuez tout le corps, servez-vous des fomentations les moins dangereuses, c'est-à-dire de celles qui n'ont aucune mordication et sont liquides; tel est le mélange d'huile et d'eau dans une vessie.

82. CONTRE LES DOULEURS CHRONIQUES DU THORAX.

Contre les douleurs chroniques du thorax, non accompagnées de 1
fièvre, faites cuire, avec du fenugrec, des figues grasses, exprimez le jus, mêlez-le à une quantité assez abondante de miel; ensuite mettez le vase sur des charbons ardents jusqu'à ce que le liquide ait pris une consistance modérée; puis servez-vous-en longtemps avant le repas.

Ch. 82; l. 12. ϖρὸ ϖολλοῦ Gal.; ϖρὸ ϖολλῶν Codd.; *multum ante* LL.

Ch. 85. = *Syn.* IX, 10 (suite, depuis Κηρωτή, p. 480, 4).

Om. Οἴνῳ..... διαλύων, p. 482, 9-10; δίδου πίνειν, 11.

Ch. 86. = *Syn.* IX, 10 (suite, depuis Πρὸς δὲ τὰς ἀνατροπάς, p. 483, 13).

Ch. 87. = *Syn.* IX, 11.

Om. οὐδέν, p. 484, 7; Καὶ..... ἐμπνευματώσεις, p. 485, 14-486, 1; donne καὶ ἀριστολοχία στρογγύλη διὰ ἔμφραξιν ἢ παχύτητα πνεύματος ὀδύνας θεραπεύει· τὰς δὲ διὰ ἔμφραξιν τῆς κοίλης ὀδύνας ἢ διὰ παχύτητα γινομένας, οἶνος, au lieu de καὶ ἀριστολοχία..... οἶνος, 486, 2-4.

πη'. Περὶ κωλικῶν.

1 Οἷς ἂν ἐν τῷ κώλῳ καὶ τοῖς ἐντέροις ἐνίζῃ τις δακνώδης χυμὸς, βλάπτονται μὲν ὑπὸ τῶν θερμῶν τροφῶν καὶ φαρμάκων, καὶ ἀσιτοῦντες παροξύνονται· διατίθενται δὲ ἄμεινον τοῖς κατακεραστικοῖς χρώμενοι.
2 Δεῖ οὖν περικλύζειν ἐνήματι πρότερον μελικράτῳ ἢ χυλῷ πτισάνης, καὶ τροφὰς εὐχύμους καὶ δυσφθάρτους παραλαμβάνειν· φεύγειν δὲ τὰ λεπτύνοντα καὶ θερμαίνοντα· χρὴ γὰρ ἢ κενῶσαι τὸν χυμὸν ἢ κατακεράσαι· μηδετέρου δὲ τούτων δυνατοῦ γενομένου, καταφεύγειν ἐπὶ τὴν τῶν ναρκωτικῶν χρῆσιν· τοὺς γὰρ ἐν τοιαύτῃ διαθέσει, οὐ μόνον τὸ ναρκοῦν τὴν αἴσθησιν ἐπικουφίζει τῆς ὀδύνης, ἀλλὰ καὶ τῷ παχύνειν τὴν λεπτότητα τῶν ὑγρῶν

88. DE LA COLIQUE.

1 Quand une humeur mordicante s'est fixée dans le colon et les intestins, les aliments et les médicaments chauds nuiront, et l'abstinence exaspère le mal, tandis que l'usage des substances tempérées améliorera
2 l'état du patient. En conséquence, on commencera par faire prendre un lavement préparé avec du mélicrat ou du suc de ptisane, puis on donnera des aliments d'un bon suc et qui se corrompent difficilement; on rejettera tout ce qui atténue et échauffe, car les humeurs doivent être ou évacuées ou tempérées; quand vous ne pouvez faire ni l'un ni l'autre, il faut recourir à l'emploi des narcotiques; dans ce cas, en effet, non-seulement la douleur est endormie par les narcotiques, mais, en outre, les malades sont grandement soulagés par l'épaississement des humeurs

καὶ ἐμψύχειν τὴν θερμότητα, μεγάλως ὠφελεῖ. Παχέων δὲ 3
ὄντων καὶ γλίσχρων χυμῶν τῶν τῆς ὀδύνης αἰτίων, μηδαμῶς
προσφέρειν τὰ ναρκωτικά· κουφίζονται μὲν γὰρ ἐπὶ τῇ χρήσει
τούτων ναρκουμένης τῆς αἰσθήσεως μόνης, πάλιν δὲ ἴσχουσι κά-
κιον, παχυνομένων ἐπὶ πλέον τῶν χυμῶν καὶ δυσεκκρίτων γινομέ-
νων. Θεραπεύσομεν οὖν τούτους οὐδὲ τοῖς σφοδρῶς θερμαίνουσιν· 4
αὔξονται γὰρ ὑπὸ τούτων αἱ ὀδύναι, χεομένων τῶν χυμῶν καὶ πνευ-
ματουμένων, ἀλλὰ τοῖς ἄνευ τοῦ θερμαίνειν σφοδρῶς τέμνουσι καὶ
τοῖς ἀφύσοις. Ἐπεὶ δὲ τὸ σκόροδον πάντων ἐσΊὶν ἀφυσότατον, εἰ 5
μὴ παρείη πυρετὸς, τούτου τε προσοίσομεν, καὶ τοῦ θηριακοῦ φαρ-
μάκου, γενναίως ὠφελοῦντες τὴν τοιάνδε διάθεσιν· πυρετοῦ δὲ ὄν-
τος, τῇ διὰ τῶν κέγχρων πυρίᾳ χρησόμεθα καὶ ἐνεψήσαντες ἐλαίῳ
λεπΊομερεῖ τῶν ἀφύσων τι σπερμάτων, εἶτα διηθήσαντες καὶ μί-
ξαντες τῷ ἐλαίῳ σΊέαρ χηνὸς ἢ ὄρνιθος ἀνάλογον ἐνήσομεν. Μὴ 6
παυσαμένης δὲ ἐπὶ τούτοις τῆς ὀδύνης καὶ πάλιν ἐνίεμεν μίξαντες

ténues et l'abaissement de la chaleur. Quand les humeurs qui causent 3
la douleur sont épaisses et glutineuses, on ne devra en aucune façon
user de narcotiques; car les sens seulement étant stupéfiés, le mal paraît
s'apaiser pendant l'emploi des narcotiques, mais ensuite il y a aggrava-
tion, les humeurs devenant plus épaisses et plus difficiles à dissiper.
Aussi, ce n'est point par l'emploi des médicaments qui échauffent for- 4
tement, car ils ne font qu'augmenter la douleur en épanchant les hu-
meurs et en remplissant de pneuma, que nous traiterons ces malades,
mais au moyen des incisifs doués d'une chaleur modérée et ne dévelop-
pant pas de pneuma. Comme l'ail est de toutes les substances celle qui 5
développe le moins de pneuma, nous le prescrirons avec la thériaque
s'il n'y a point de fièvre, et nous soulagerons efficacement ainsi ces af-
fections; mais, s'il y a de la fièvre, nous ferons des fomentations avec du
millet, puis nous ferons cuire dans de l'huile à parties ténues quel-
qu'une des semences qui sont dépourvues de pneuma; puis, passant le
tout et ajoutant à l'huile de la graisse d'oie ou de poule, nous en ferons
un lavement. Si cela n'apaise pas la douleur, nous donnerons un nou- 6
veau lavement, en ajoutant à l'huile du castoréum et de l'opium, de

4. ναρκούμενον Codd.; *obstupefactum sensum* La.; *aut stupefacto sensum* Li.

τῷ ἐλαίῳ καστορίου τε καὶ ὀπίου, μέγεθος ἑκατέρων μὴ μεῖζον κυά-
7 μου, εἰς κοτύλην τοῦ ἐλαίου. Δύναιτο δὲ ἄν τις ἀναλαμβάνων ἐκ τοῦ
φαρμάκου τούτου κροκίδα μέχρι πλείστου κατὰ τὸν δακτύλιον ἐντι-
θέναι· δεῖ δὲ ἀποδεσμεῖν ἰσχυρὸν νῆμα τῆς κροκίδος, ἵνα, ὅταν δέῃ,
8 ῥᾳδίως λαμβάνηται. Λύκων κόπρος διδομένη, καὶ μάλιστα ἡ λευκὴ
μετὰ ὕδατος ἢ οἴνου λεπτοῦ κατὰ τὴν σύστασιν, ἄκρως ὠφελεῖ τοὺς
κωλικούς, οὐ μόνον ἐν παροξυσμοῖς, ἀλλὰ καὶ [ἐν] διαλείμμασιν· ἢ
γὰρ παύει τελέως τὸ νόσημα, ἢ πραότερον καὶ διὰ χρόνου γίνε-
9 σθαι παρασκευάζει. Μέλλει δέ, εἰ μὴ πεπτωκυῖαν ἐπὶ τῆς γῆς εὕ-
10 ροιμεν τὴν κόπρον, ἀλλὰ ἐπί τινος θάμνου καὶ βοτάνης. Καὶ ὀστᾶ
δὲ εὑρίσκεται διαφυγόντα τοῦ ζώου τὴν πέψιν, ἅτινα λεῖα διδόμενα
πίνειν, ὀνίνησι τοὺς κωλικούς· δεῖ δὲ καθαριωτέροις διδόντας, ἁλῶν
11 καὶ πεπέρεως μιγνύειν, ἤ τινος τῶν ἡδέων. Θαυμαστῶς δὲ ὅπως
καὶ περιαπτομένη ταῖς λαγῶσιν ὠφελεῖ σαφῶς· χρὴ δὲ ἐκ λυκο-
βρώτου γενομένῳ ῥάμματι τὸ περίαπτον ἐξαρτᾶν, ἐν δέρματι

7 chacun gros comme une fève dans une cotyle d'huile. On pourra aussi
tremper des flocons de laine dans ce médicament et les introduire le
plus avant qu'il sera possible dans l'anus; un fil résistant attachera la
8 laine afin qu'on puisse les retirer facilement quand il le faudra. Les ex-
créments du loup, surtout ceux qui sont blancs, donnés dans de l'eau
ou du vin blanc de consistance ténue, ont une grande efficacité dans la
colique, non-seulement dans les accès, mais aussi dans les rémissions :
ce remède, en effet, ou guérit radicalement le mal ou le rend plus sup-
9 portable et recule les accès. Il sera préférable que les excréments n'aient
point touché la terre, mais qu'ils soient reçus sur des broussailles ou
10 de l'herbe; puis on prendra soin de les couvrir. On trouve aussi dans
ces excréments des os non digérés par l'animal, lesquels pilés et donnés
en boisson sont aussi d'un bon effet dans les coliques; on doit toutefois,
pour les personnes qui recherchent la propreté, y mêler du sel et du
11 poivre ou quelque substance agréable au goût. Appliqué sur les lombes,
ce remède procure un soulagement merveilleux; mais ces excréments
doivent être enveloppés dans de la peau d'un cerf et fixés avec une corde
faite avec la laine d'un mouton mordu par le loup; si vous n'avez pas sous

6. λεπτοῦ Gal.; *tenuem* La; λευκοῦ Codd. — 7. [ἐν] om. Codd. — 10. Καί] Cf. notes.

τὴν κόπρον ἐλαφείῳ βαλόντας· μὴ εὐπορούντων δὲ ἐρίων ἐκ λυκο-
βρώτων καὶ τὸ ἄρτημα γίνεσθαι ἐξ ἱμάντος ἐλαφείου. Καὶ κόρυδος 12
δὲ [καὶ] τὸ σΊρουθίον ὠφελεῖ τοὺς αὐτοὺς [ἐν τῷ] ζωμῷ λαμβανόμενα.

Ch. 89. = *Syn.* IX, 15.

Ch. 90 (Πρὸς διάῤῥοιαν καὶ κοιλιακοὺς καὶ σΊομαχικοὺς καὶ νεφριτικούς). = *Syn.* IX, 15 (suite, depuis Τὰς διαῤῥοίας, p. 492, 4).

ϙα'. Πρὸς ἕλμινθας.

Τοὺς μὲν σΊρογγύλους ἕλμινθας ἱκανὸν ἀποκτεῖναι ἀψίνθιον, 1
ἀβρότονον, καλαμίνθη, καρδάμωμον, κράμβης σπέρμα, ἡδύοσμος,
θέρμος πικρὸς ἐπιπλατΊόμενός τε καὶ ἐκλειχόμενος μετὰ μέλιτος,
ἢ μετὰ ὀξυκράτου πινόμενος, μελάνθιον οὐκ ἐσθιόμενον μόνον, ἀλλὰ
καὶ καταπλασσόμενον τῆς γασΊρὸς ἔξωθεν, περσικῆς λεῖα φύλλα
κατὰ τὴν κοιλίαν τιθέμενα. Τὰς δὲ ἀσκαρίδας ἐνιέμενα ἀναιρεῖ κα- 2
λαμίνθης ὁ χυλὸς, καὶ ἡ κεδρέα. Τὰς δὲ πλατείας ἀναιρεῖ μορέας 3
τῆς ῥίζης ὁ φλοιὸς, πΊερίδος ἡ ῥίζα ∠ δ' ἐν μελικράτῳ λαμβανο-
μένη, καὶ χαμαιλέοντος λευκοῦ ἡ ῥίζα πλῆθος ὀξυβάφου μετὰ οἴνου
αὐσΊηροῦ. Ἀναιρεῖ δὲ αὐτὰς καὶ κόσΊος. 4

la main le poil d'un animal mordu par le loup, on pourra le remplacer
par une lanière de la peau d'un cerf. En outre, l'alouette et le moineau 12
cuits dans leur jus et mangés guérissent ces maladies.

91. CONTRE LES VERS.

Sont bons pour détruire les vers ronds, l'absinthe, l'armoise, la *cala-* 1
minthe, le cardamome, la graine de chou, l'*hédyosme*, le lupin amer,
employé soit sous forme de cataplasme ou d'éclegme avec du miel, soit
en boisson avec de l'oxycrat, la nielle, non pas seulement mangée, mais
appliquée en cataplasme sur le ventre, les feuilles broyées de pêcher et
également mises sur le ventre. Le suc de *calaminthe* et la résine de cèdre 2
en lavement tuent aussi ces vers. L'écorce de racine de mûrier, quatre 3
grammes de racine de fougère mâle pris dans du mélicrat, la racine de
caméléon blanc, plein un oxybaphe avec du vin âpre, détruisent les
vers plats. Le costus les détruit également. 4

3. [καί] om. Codd. — Ib. [ἐν τῷ] Gal.; om. Codd. — Ib. λαμβανόμενος Codd.

Ch. 92. = *Syn.* IX, 16.

Om. καὶ ὕδωρ..... εὐθὺς δός, p. 493, 8-9.

Ch. 93. (Πρὸς τὰς τῆς ἕδρας διαθέσεις, φλεγμονὰς καὶ πλώσεις.) = *Syn.* IX, 17.

Ch. 94. = *Syn.* IX, 17 (suite, depuis Πρὸς δὲ τάς, p. 494, 8).

Om. ἁρμόζει δὲ ἐπὶ αὐτῶν καὶ κατάπλασμα, p. 494, 10-495, 1.

Ch. 95. = *Syn.* IX, 17 (suite, depuis Πρὸς δὲ τοὺς κνησμούς, p. 495, 4).

Ch. 96. = *Syn.* IX, 17 (suite, depuis Πρὸς δὲ τὰς ἐν δακτυλίῳ, p. 495, 6).

Ajoute καὶ αἱμοῤῥοΐδας après ῥαγάδας, p. 495, 6.

Ch. 97. = *Syn.* IX, 18.

Ch. 98. = *Syn.* IX, 18. (Suite, depuis Σύνθετον ἐκφράττον, p. 500, 5.)

Ch. 99. = *Syn.* IX, 22.

Donne πληροῦται τὰ κάτω ἀγγεῖα πάντα τοῦ θώρακος, p. 505, 1-2.

ρʹ. Περὶ ἰκτέρου.

1 Οἱ μὲν ἐπὶ λόγῳ κρίσεως ἴκτεροι συνιστάμενοι ῥᾳδίως καθίστανται λουτρῶν γλυκέων ὑδάτων παραληφθέντων, καὶ τρίψεων μετὰ ἐλαίου τῶν διαφορητικῶν τινος οἷόν ἐστι τὸ χαμαιμήλινον καὶ
2 τὸ ἀνήθινον, καὶ τὸ ἀπὸ τῶν κρίνων, καὶ τὸ ἀμαράκινον. Τοὺς δὲ ἐπὶ ἐμφράξει τοῦ ἥπατος συστάντας, προεκφράξας τις τὸ σπλάγχνον, εἶτα χολαγωγῷ χρήσαμενος φαρμάκῳ ῥᾳδίως ἰάσεται τὸν πάσχοντα
3 καὶ ταχέως. Ἁρμόττει δὲ καὶ τοῖς ἐπὶ φλεγμονῆς τοῦ ἥπατος ἰκτε-
4 ριῶσι, πάντα ὅσα τὰς φλεγμονὰς ἰᾶται. Καρπὸς ἀτραφάξυος ὠφελεῖ τοὺς ἰκτεριῶντας, καλαμίνθη, κυκλαμίνου ἡ ῥίζα· καὶ γὰρ ἐκ-

100. DE LA JAUNISSE.

1 Quand les malades deviennent jaunes en raison d'une crise, l'usage des bains d'eau douce, les frictions avec quelque huile résolutive telle que l'huile à la camomille, à l'anet, aux fleurs du lis, à l'origanum maru,
2 les guérissent facilement. Si la jaunisse est produite par l'obstruction du foie, on guérira facilement et promptement le malade en dissipant cette
3 obstruction, puis en employant un médicament qui évacue la bile. Tous les remèdes qui guérissent les inflammations conviennent à la jaunisse
4 lorsqu'elle provient de l'inflammation du foie. La graine d'arroche, la *calaminthe* et la racine de cyclame dissipent également la jaunisse, en

καθαίρει τὸ σπλάγχνον καὶ τὴν ἐν ὅλῳ τῷ σώματι χολὴν ἐκκρίνει διὰ ἱδρώτων· χρὴ δὲ εἶναι τὸ πινόμενον ἄχρι ∠γ' μετὰ γλυκέος ἢ
μελικράτου. Χρὴ δὲ καὶ συνεργεῖν τοῖς ἱδρῶσιν. — Ἄλλο· Ἐρεβίν- 5-6
θων ξηρῶν ξ α', ἀδιάντου δέσμιον χειροπληθὲς, ἀσπαράγων ἐλείων τῶν ῥιζῶν χειροπληθὲς, ὕδατος κοτύλη· καὶ καθεψήσας καὶ διυλίσας τὸ ὑγρὸν δίδου πυρέττουσι διὰ ὕδατος, ἀπυρέτοις διὰ οἴ-
νου. Καὶ τῶν ἀπὸ τῶν πετρῶν δὲ ἢ κεραμίδων πότιζε λειχῆνας, 7
διὰ ὑδρομέλιτος. Πρασίου χυλὸν διὰ ῥινῶν ἴκτερον καθαίρει, ἐλα- 8
τήριον ὁμοίως ἐγχεόμενον ταῖς ῥισὶ μετὰ γάλακτος. Ὅταν δὲ τὸ 9
μὲν ἄλλο σῶμα κατὰ φύσιν ἔχῃ, οἱ δὲ ὀφθαλμοὶ μένωσιν ὠχροὶ, δίδου ἐν βαλανείῳ ὄξους δριμυτάτου κοχλιάριον διὰ τῶν μυκτήρων ἀνέλκειν· ἀποῤῥεῖ γὰρ χολῶδες πολύ· ἢ μελάνθιον ἐν ὄξει δριμεῖ διαβρέχων πρὸ μιᾶς [ἡμέρας], εἶτα τῇ ὑστεραίᾳ σὺν ὄξει πάλιν λειῶν καὶ ἐγχέων εἰς τὴν ῥῖνα διὰ τῶν μυκτήρων, ποιεῖ ἀναῤῥο-

purgeant le viscère et en expulsant par les sueurs la bile qui est répandue dans le corps; on en donnera jusqu'à trois drachmes en boisson avec du vin
d'un goût sucré ou du mélicrat. On favorisera aussi les sueurs. — *Autre :* 5-6
Prenez un setier de pois chiches, un fascicule de capillaire, autant que vous en pourrez tenir dans votre main, et une poignée de racines d'asperges de marais et une cotyle d'eau; faites cuire, passez le liquide, donnez le liquide coupé avec de l'eau aux fébricitants, aux non fébricitants
avec du vin. Donnez aussi pour boisson avec de l'hydromel les lichens 7
qui naissent dans les pierres ou les vases de terre. Le suc du mar- 8
rube aspiré par le nez purge l'ictère; il en est de même de l'élatérium
instillé dans les narines avec du lait. Lorsque les autres parties du corps 9
sont revenues à leur état normal et que les yeux demeurent jaunâtres, donnez une cuillerée de très-fort vinaigre que le malade, placé dans le bain, attirera par l'inspiration avec les narines; cela expulse une grande partie de la bile; ou encore faites macérer de la nielle dans du vinaigre très-fort, et le jour suivant on le broiera de nouveau dans du vinaigre et on l'instillera dans le nez à travers les narines; faites en sorte que le malade aspire; quelquefois même vous pulvériserez la nielle dans de

3-p. 767, l. 7. Ἄλλο... τέσσαρας om. F. — 13. [ἡμέρας] Gal.; om. Codd.

10 φὴν· ἐνίοτε δὲ ἐν ἐλαίῳ παλαιῷ λειῶν τὸ μελάνθιον. — Ἄλλο πάνυ πεπειραμένον· Ῥαφάνων χλωρῶν σὺν τοῖς φύλλοις τὸν χυλὸν λαβὼν δίδου κύαθον ἕνα ἢ δύο νήστει, εἰς τὴν θερμὴν ἐμβαίνειν
11 μέλλοντι, καὶ ὄψει τὴν χολὴν προχεομένην. — Ἄλλο πολλὴν δεδωκὸς πεῖραν· Ἀφρονίτρου ∠ β' βρέχων ἐν οἴνῳ Ἀμιναίῳ κυάθ. β', καὶ ἐξαιθριάσας ὅλην τὴν νύκτα, δὸς νήστει πιεῖν ἐπὶ ἡμέρας τρεῖς ἢ τέσσαρας.

Ch. 101. (Περὶ τῶν τοῦ σπληνὸς παθῶν.) = *Syn.* IX, 23.

Donne *κινεῖ* au lieu de *κενοῖ*, p. 507, 5.

Ch. 102. (Περὶ τῶν ἐν νεφροῖς καὶ κύστει παθῶν, καὶ πρὸς λιθιῶντας.) = *Syn.* IX, 24.

Donne ἐκ δὲ τῆς ἐνεργείας κύστεως μὲν τὴν αἰτίαν ἐχούσης δυσουρία καὶ στραγγουρία διοχλεῖ, ἀκώλυτοι, p. 512, 8-10; ajoute, Ἀντίδοτος πρὸς πυοῤῥοῦντας· Ἀμυγδάλων πικρῶν ∠' — σικύου σπέρματος ∠ δ', μήκωνος λευκῆς σπέρματος ∠ δ', τραγακάνθης ∠ β', μαλάχης σπέρματος ∠ β', μύρτων μελαίνων ∠ β', ἀμώμου ∠ δ', στροβίλων ∠ δ', ὠῶν λεκίθων ὀπτῶν β', μέλιτος ξε'. α'. Ἡ δόσις κοχλ. τὸ 𐅵'', μετὰ συγκράσεως (?) après *κύαθοι β'*, p. 513, 11.

Ch. 103. (Πρὸς τὰς τοῦ αἰδοίου, καὶ τῆς ἕδρας καὶ τῆς μήτρας καὶ τῆς κύστεως ἑλκώσεις.) = *Syn.* IX, 34.

Ch. 104. (Πρὸς τὰς τοῦ ὀσχέου καὶ τοῦ αἰδοίου διαθέσεις.) = *Syn.* IX, 35.

Om. *εἰκοσιπέντε* après *μαινίδων*, p. 523, 9; ἄχρις οὗ γλοιωθῇ..... τριβεῖσα, p. 523, 11-524, 2.

Ch. 105. = *Syn.* IX, 36.

Ch. 106. = *Syn.* IX, 39.

ρζ'. Ὅσα τὰς εἰς συνουσίαν ὁρμὰς ἐπεγείρει καὶ ἐντάσεις ποιεῖ.

1 Ἀκαλήφης καρπὸς, βολβὸς, γογγυλίδος σπέρμα, δαύκου ἡ ῥίζα

10 l'huile vieille. — *Autre* tout à fait confirmé par l'expérience: Prenez le suc de raiforts verts avec les feuilles, donnez-en à jeun un verre ou deux quand le malade est sur le point d'entrer dans l'étuve; vous verrez
11 alors la bile s'écouler. — *Autre* dont nous avons fait bien des fois l'expérience: Faites tremper en plein air, pendant toute la nuit, deux drachmes d'*aphronitron* dans six verres de vin d'Aminée [en Bithynie], et donnez-en à boire à jeun pendant trois ou quatre jours.

107. DES SUBSTANCES QUI EXCITENT À LA COPULATION ET PRODUISENT LES ÉRECTIONS.

1 Le fruit de l'ortie, l'oignon de vaccet, la graine de navet, la racine de

καὶ μετρίως τὸ σπέρμα, ἡδύοσμος, κόστος, παρορμᾷ μετὰ οἰνομέ-
λιτος, σατύριον, εὔζωμον, ἐρέβινθος, κύαμοι, πολυπόδων, κῶνος,
ὁρμίνου σπέρμα, ἄννησον, ἄρου ῥίζα ἑφθὴ ἐσθιομένη. Τὰ *περὶ τοὺς* 2
νεφροὺς τῶν σκίγκων ὡς ἐντατικὰ τῶν αἰδοίων πίνεται. Π*έρδικος* 3
ὠὰ εἰς συνουσίαν διεγείρει. Π*ράσου σπέρμα ἐν οἴνῳ ἀκράτῳ πινό-* 4
μενον, ἀλώπεκος ὄρχεις ξηροὶ πινόμενοι, πλῆθος κοχλιαρίου ἀβλαβῆ
καὶ ἀδιάψευστον τὴν ἔντασιν ποιοῦνται.

ρη'. Ὅσα ἐπέχει τὰς ἀφροδισίας ὁρμάς.

Ἄγνου τὸ σπέρμα πεφρυγμένον καὶ ἄφρυκτον, καὶ τὰ φύλλα δὲ 1
καὶ τὰ ἄνθη τὰς ἀφροδισίας ὁρμὰς ἐπέχειν πεπίστευται, οὐκ ἐσθιό-
μενα μόνον καὶ πινόμενα, ἀλλὰ καὶ ὑποστρωννύμενα. Π*ήγανον* 2
ὁμοίως ἐπέχει. Τὸ *τῶν φακῶν ἀφέψημα παύειν φασὶ τὰς ἐντάσεις.* 3
Ἀ*νδράχνη ἐσθιομένη, θρίδακος σπέρμα πινόμενον.* 4

ρθ'. Πρὸς γονόῤῥοιαν καὶ τοὺς ὀνειρωγμούς.

Θρίδακος σπέρμα πινόμενον ἐπέχει γονοῤῥοίας· ὅθεν καὶ τοῖς 1

daucus, sa graine, mais plus modérément, l'*hédyosme,* le costus, avec
du vin miellé excitent à la copulation; l'orchis non en poudre, la ro-
quette, le pois chiche, la fève, la fougerole, le pin, la graine d'ormin,
l'anis, la racine de gouet cuite et mangée. On boit, pour produire les 2
érections, ce qui avoisine les reins des crocodiles de terre. Les œufs 3
de perdrix poussent à la copulation. La graine de poireau bue dans du vin 4
blanc pur, les testicules secs du renard pris en boisson, plein une cuil-
ler, procurent une érection exempte de danger et qui ne trompe pas.

108. DES SUBSTANCES QUI EMPÊCHENT LES DÉSIRS AMOUREUX.

La graine, grillée ou non grillée, de gattilier, les feuilles et les fleurs 1
empêchent les désirs amoureux; cela est prouvé, non-seulement quand
on les boit ou qu'on les mange, mais aussi quand on se couche dessus.
La rue agit de même. On prétend que la décoction de lentilles empêche 2-3
aussi les érections. Le pourpier mangé, la décoction de graine de laitue, 4
ont une vertu semblable.

109. CONTRE LA GONORRHÉE ET LES POLLUTIONS NOCTURNES.

La graine de laitue prise en boisson arrête la gonorrhée; c'est pour- 1

2 ὀνειρώττουσι δίδοται. Οὕτω δὲ καὶ τῆς ἀγρίας κανάβεως ὁ καρπὸς, εἰ
3 πλείω ποθείη, ξηραίνει τὴν γονήν. Μολύβδου πλάτυσμα ταῖς ψόαις
4 ὑποτιθέμενον τοὺς ὀνειρώττοντας ὀνίνησιν. Νυμφαίας ἡ ῥίζα καὶ τὸ
σπέρμα ἐπέχει σπέρμα κατὰ τοὺς ὀνειρωγμοὺς, καὶ ἄλλως ἀμε-
τροτέρως φερόμενον ἐν οἴνῳ μέλανι αὐστηρῷ πινόμενον· ἀνήθου
σπέρμα.

ρι'. Πρὸς ἐνουροῦντας.

1 Κύστιν αἰγείαν ἢ προβάτου κεκαυμένην πότιζε διὰ ὀξυκράτου,
2 ἑσπέρας [τε] διψῶντας, κοιμᾶσθαι. Ποιεῖ δὲ καὶ ἀετοῦ ἐγκέφαλος,
ὅσον ἐρέβινθος μετὰ χηνείου στέατος ἴσου [καὶ] κόμμεως τοῦ αὐτοῦ,
3 καταπινόμενα ἢ συμφυραθέντα ἀλφίτῳ καὶ ἐσθιόμενα. Λαγωοῦ ὄρχιν
4 ἐπιξέσας εἰς οἶνον εὐώδη δὸς πιεῖν, καὶ ἀπαλλάσσεται. Καλαμίν-
5 θην καὶ σμύρναν ἐν οἴνῳ δὸς πιεῖν πρὸ τοῦ δείπνου. Καταχριέσθω
δὲ τὸ αἰδοῖον κιμωλίᾳ μετὰ περδικίου χυλοῦ.

Ch. 111. = *Syn.* IX, 41.

Donne δὲ κατὰ τοῦ δακτυλίου, p. 529, 12.

2 quoi on la donne aussi contre les pollutions nocturnes. La décoction de
la graine de chanvre sauvage, si l'on en boit abondamment, tarit la se-
3 mence. Une plaque de plomb attachée sur les reins remédie à la pollu-
4 tion nocturne. La racine et la graine de nénuphar bues avec du vin noir
âpre arrêtent l'écoulement de la semence pendant le sommeil et dans les
autres occasions où elle s'échappe trop abondamment; il en est de même
de la graine d'aneth.

110. DE CEUX QUI URINENT EN DORMANT.

1 Faites brûler une vessie de chèvre ou de brebis, buvez la cendre
2 avec de l'oxycrat, et le soir couchez-vous avec la soif. Est également ef-
ficace la cervelle d'aigle, gros comme un pois chiche, avec partie égale
de graisse d'oie et de gomme, le tout pris en boisson ou grillé avec de
3 l'alphiton et mangé. Faites bouillir un testicule de lièvre dans du vin de
4 bonne odeur, donnez à boire, et l'infirmité disparaîtra. Donnez à boire
5 avant le repas de la *calaminthe* et de la myrrhe dans du vin. Frottez
aussi la verge avec de la terre de Cimole unie à du suc de pariétaire.

Ch. 110; l. 8. [τε] Diosc.; om. Codd. — 9. [καὶ] Diosc.; et 626; om. Codd.

ριβ'. Περὶ ἐμμήνων κινήσεων.

Προτρέψαι βουλόμενος τὰ καταμήνια, πρὸ ἡμερῶν τριῶν ἢ τεσ- 1
σάρων τῆς προθεσμίας τῆς κινήσεως, φλέβα τεμὼν, ἢ ἀποσχάζων,
κενοῦ τοῦ αἵματος βραχὺ θατέρου τῶν ποδῶν, καὶ μετὰ μίαν ἡμέραν
ἀπὸ τοῦ ἑτέρου πάλιν κένωσον ὁμοίως, λεπτυνούσῃ διαίτῃ χρησά-
μενος, νῦν τε καὶ πρὸ ε' ἢ ϛ' ἡμερῶν τῆς θεραπείας ἀρχόμενος.
Μετὰ δὲ τὴν ἀπὸ τοῦ σφυροῦ κένωσιν, δίδου καστόρειον μετὰ γλή- 2
χωνος ἢ καλαμίνθης· κινεῖ γὰρ ἄκρως. Προτρέπει δὲ καταμήνια 3
καλῶς καὶ γλήχων καὶ καλαμίνθη, ἑψόμενα σὺν μελικράτῳ· καὶ
ξηρὰ δὲ κοπέντα καὶ χνοώδη γενόμενα, τῷ μελικράτῳ καταπασσό-
μενα. Προστιθεμένη δὲ καλαμίνθη δραστικῶς ἐνεργεῖ. Ταύτης δὲ 4-5
τῆς πόσεως καιρός ἐστι ἐπιτήδειος μετὰ τὸ λουτρὸν ἀπομασο-
μένοις ἔτι. Δραστικώτερα δὲ καὶ εὐτονώτερα τούτων ἐστὶ τό τε 6
δίκταμνον καὶ τὸ βράθυ, παραπλησίως διδόμενα. Χρησίμως δὲ δίδο- 7
ται κατὰ τὸν καιρὸν τοῦτον καὶ ἡ πικρὰ τῆς μὲν ἀλόης ∠ ρ' τῶν δὲ

112. DE LA MANIÈRE DE PROVOQUER LES MENSTRUES.

Si vous voulez provoquer les menstrues, trois ou quatre jours avant 1
le temps où elles devraient paraître d'elles-mêmes, vous ouvrirez la
veine [à la cheville] d'un des deux pieds, ou vous scarifierez et tirerez
ainsi un peu de sang; le lendemain vous agirez de même pour l'autre
pied, sans oublier d'ordonner un régime atténuant; le traitement peut
toutefois commencer cinq ou six jours avant l'époque ordinaire de l'ap-
parition des menstrues. Aussitôt après une saignée à la cheville, donnez 2
le castoréum avec du pouliot ou de la *calaminthe;* cela provoquera effi-
cacement les règles. On obtiendra un effet identique de ces plantes cuites 3
dans du vin miellé; il en est de même si, après les avoir séchées, pi-
lées, réduites en poudre fine, on en saupoudre le mélicrat. La *cala-* 4
minthe en pessaire agit aussi avec énergie. C'est après le bain qu'il 5
convient surtout de donner la boisson susdite, lorsque la malade est
encore à jeun. Le remède fait avec le dictame de Crète et la sabine a 6
beaucoup plus d'efficacité et de vertu; on le fera prendre de la même
manière. A ce moment on donnera utilement aussi l'espèce de *picra* 7

Ch. 112; l. 10. Τούτῳ Codd. — 11-12. ἀπομασομέναις Codd. — 14. μέν] μετά F.

8 ἄλλων ἀνὰ ∠ ς'. Κινεῖ καὶ ἀμπελόπρασον, ὅταν ὑπὸ ψυχροῦ καὶ
παχέος ἴσχηται χυμοῦ· ἐρέβινθοι, θερμῶν πικρῶν ἀφέψημα σὺν
μυρσίνῃ καὶ μέλιτι προστιθέμενον, καὶ τὸ ἄλευρον καταπλασσόμε-
9 νον· θύμος, καππάρεως τῆς ῥίζης ὁ φλοιὸς, κασία. Ὅταν ὑπὸ πλή-
θους τε ἅμα καὶ πάχους τῶν περιττωμάτων ἐπέχηται κενταυρίου
τοῦ μεγάλου ἡ ῥίζα, κενταυρίου μικροῦ ὁ χυλὸς προστιθέμενος· μά-
10 ραθον, μελάνθιον. Ὅταν διὰ γλισχρότητα καὶ πάχος χυμῶν ἐπέ-
χηται, πετροσέλινον, πράσιον, σέλινον, σκόροδον, σμύρνιον, στύραξ
πινόμενος καὶ προστιθέμενος, ῥαφανὶς ἐσθιομένη, ἀδίαντον, ἄμω-
11 μον. Ἐγκαθίσματα δὲ ἄγει ἀφεψημένα μετὰ ὕδατος ἀκτῆς τὰ φύλλα·
12 ἀρτεμισία, δίκταμνον, δάφνη, κόνυζα. Καταπλάσσεται δὲ πρὸς
λόχια, καὶ ἔμμηνα κινεῖ ἀρτεμισία πολλὴ κατὰ τῶν ὑποχονδρίων.
13 Ἐπιτεταμένως δὲ ἄγει, ὥστε καὶ ἔμβρυα ἐκβάλλειν, αἴρινον ἄλευ-
ρον, πράσου χυλῷ φυραθὲν, κυκλαμίνου χυλὸς σὺν ἐλατηρίῳ καὶ

qui contient cent drachmes d'aloès et six drachmes de chacun des autres
8 ingrédients. Les *poireaux des vignes* activent les menstrues lorsqu'elles
sont arrêtées par une humeur épaisse et froide; il en est de même des
pois chiches et de la décoction de lupins amers épaissie avec de la
myrrhe et du miel pour pessaires; de la farine de lupins employée
comme cataplasme; du *thym*, de l'écorce de la racine du câprier et la
9 fausse cannelle. Lorsque la purgation est arrêtée par des superfluités
abondantes et épaisses, on applique en pessaire la racine de la grande
centaurée et le suc de la petite; le fenouil et la nielle agissent égale-
10 ment dans ce cas. Lorsqu'elle est supprimée par des humeurs visqueuses
et épaisses, on donne le persil, le marrube, le céleri, l'ail, le smyrnium
et le styrax en boisson ou en pessaire; le raifort comme aliment; le capil-
11 laire, l'*amome*. La décoction de feuilles de sureau cuites dans l'eau,
celles d'armoise, de dictame de Crète, de laurier, de conyze, sont
12 efficaces sous forme de bains de siége. Pour provoquer les lochies et
pousser aux menstrues, on applique de l'armoise en abondance sur les
13 hypocondres. La farine d'ivraie délayée dans le suc du poireau, le suc
du cyclame avec de l'élatérium et la farine d'ivraie agissent si puissam-
ment, qu'ils provoquent l'expulsion du fœtus; il en est de même de

4. Ὅθεν F.

αἰρίνῳ ἀλεύρῳ· μυελὸς ἐλάφειος, χαλβάνη, ἀμμωνιακὸν καὶ ἔλαιον
ἴσα, ὀποπάνακος ὀβολὸς, κολλύριον ποιήσας, ὑπόθες. Ἀκίνδυνόν ἐστι 14
καὶ πεπειραμένον· ἐκβάλλει δὲ μηνῶν γ' ἢ δ'. — Ἐκβόλια· Βράθυ καὶ 15
τὰ ζῶντα τῶν ἐμβρύων διαφθείρει, καὶ τὰ νεκρὰ ἐκβάλλει. Καὶ τοῦ 16
μεγάλου κενταυρίου ἡ ῥίζα τὰ αὐτὰ δρᾷ, καὶ καλαμίνθης ὁ χυλὸς
πινόμενός τε καὶ προστιθέμενος, σμύρνα καὶ κεδρέα προστιθε-
μένη. Καὶ αὐτὸ δὲ τὸ κατὰ τὰς συνουσίας περιαλειφόμενον τῷ 17
αἰδοίῳ· καὶ διὰ τοῦτο ἀτόκιόν ἐστι φάρμακον· οὕτω χρωμένοις,
οὐδενὸς δεύτερον. Θέρμων πικρῶν τὸ ἀφέψημα σὺν μυρσίνῃ καὶ 18
μέλιτι προστιθέμενον, καὶ τὸ ἄλευρον αὐτῶν καταπλασσόμενον ἐκ-
βάλλει. Κενταυρίου τοῦ μικροῦ ὁ χυλὸς προστιθέμενος ἐκβάλλει· 19
κυκλαμίνου ὁ χυλὸς χριόμενος κατὰ τοῦ ὑπογαστρίου· καὶ γὰρ
φθόριόν ἐστιν ἰσχυρὸν ἐν πεσσῷ σὺν μέλιτι προστιθέμενον. Ἐλα- 20
τήριον τὰ κυούμενα φθείρει προστιθέμενον. Καστορίου μετὰ γλή- 21

la moelle de cerf, du galbanum, de la gomme ammoniaque et de l'huile
à parties égales; ajoutez une obole d'opopanax, faites un collyre (*pessaire*),
et appliquez-le dans le vagin. Ce collyre est éprouvé et n'offre pas de 14
danger; il expulse le fœtus à trois ou quatre mois. — *Abortifs :* La sa- 15
bine tue les fœtus vivants et expulse ceux qui sont morts. La racine de 16
la grande centaurée produit le même effet, ainsi que le suc de *calaminthe*
pris en boisson ou appliqué sous forme de pessaire; la myrrhe et la résine
de cèdre ont la même vertu. Il en est de même de ces médicaments lors- 17
qu'on en fait des onctions sur le membre viril au moment du coït; c'est,
par conséquent, un moyen de rendre stérile; on aura, si l'on s'en sert
ainsi, un médicament à nul autre inférieur. Les pessaires faits avec une 18
décoction de lupins amers épaissie par de la myrrhe et du miel, la farine
de ces mêmes lupins, expulsent le fœtus. Le suc de la petite centaurée, 19
sous forme de pessaire, a la même vertu, ainsi que celui du cyclame,
dont on oint le bas-ventre; ce suc, appliqué en pessaire avec du miel, a
une très-forte action abortive. L'élatérium en pessaire tue les fœtus. J'ai 20-21
expérimenté que le castoréum, mêlé au pouliot ou à la *calaminthe*, a la

5. *καί* om. F. — 7. *τὰς συνουσίας σπέρμα περιαλειφόμενον.* Codd.; *σπέρμα* om. Verss. ant. Voy. plus loin, ch. 116, p. 777.

χωνος ἢ καλαμίνθης ἐπειράθην ἐκϐαλόντος ἀεὶ χόρια κατεσχημένα.
22 Κράμϐης χυλὸς μετὰ αἰρίνου ἀλεύρου προσῖιθέμενα.

ριγ'. Περὶ ῥοῦ γυναικείου.

1 Οὐκ ἴδιον πάθος ἐσῖὶ τῆς μήτρας ὁ καλούμενος γυναικεῖος ῥοῦς,
2 ἀλλὰ ἐκ τοῦ παντὸς σώματος ἡ κένωσις διὰ αὐτῆς γίγνεται. Συμ-
ϐαίνει δὲ τοῦτο ἐπὶ τῶν ἁπαλοσάρκων καὶ Φλεγματοδεσῖέρων ὡς
3 ἐπὶ πολύ. Κενοῦται δὲ λευκὸν ἀπὸ Φλέγματος, ὠχρὸν δὲ ἐνίοτε
4 τῆς πικρᾶς χολῆς πλεοναζούσης, καὶ ὑδατῶδες ἐνίοτε. Διὸ
καὶ πολλάκις ἤρκεσεν εἰς ἴασιν ἡ ἐκ τοῦ παντὸς σώματος κέ-
5 νωσις τοῦ πλεονάζοντος χυμοῦ. Σκοπὸς δέ ἐσῖι τῆς ὅλης Θερα-
πείας ξηραίνειν ἄνευ τοῦ σφοδρῶς Θερμαίνειν, τό τε σύμπαν σῶμα,
καὶ τὰ περὶ τὴν μήτραν χωρία· διὸ καὶ χρήσαιτο ἄν τις ἐκ δια-
6 λειμμάτων ἐπὶ αὐτῶν τοῖς σῖύφουσιν. Ἐκκαθαίρειν οὖν τὸ σῶμα
προσήκει διά τε γασῖρὸς καὶ οὔρων, καὶ διαφορεῖν ἀραιοῦντα διὰ
τοῦ δέρματος, ἀνατρίϐοντά τε τὴν πᾶσαν ἐπιφάνειαν καὶ χρίοντα τοῖς
7 ἐπιτηδείοις. Ποιεῖ δὲ καὶ πρὸς ῥοῦν ἀνδράχνη αὐτή τε ἐσθιομένη καὶ
ὁ χυλὸς αὐτῆς πινόμενος, βάτου καρπὸς καὶ τὸ ἄνθος, δρυὸς τὸ ὑπὸ

22 vertu d'expulser l'arrière-faix retenu. Le suc du chou, appliqué en pes-
saire avec la farine d'ivraie, produit le même effet.

113. DU FLUX DES FEMMES (FLUEURS BLANCHES).

1 Ce qu'on appelle *flux des femmes* n'est pas proprement une affection
de l'utérus, mais une évacuation de tout le corps qui se fait par l'utérus.
2 Cela arrive ordinairement à celles qui ont des chairs molles et qui sont
3 plus flegmatiques. L'écoulement est blanc, s'il vient de la pituite; il est
quelquefois jaunâtre, lorsque la bile amère domine; quelquefois aqueux.
4 Aussi suffit-il souvent, pour la guérison, d'expulser du corps l'humeur
5 surabondante. Dans le traitement nous devons avoir pour but de dessé-
cher tout le corps et les parties contiguës à l'utérus, sans cependant trop
échauffer; nous pourrons donc, par intervalles, appliquer les astrin-
6 gents sur ces parties. En conséquence, il faut purger tout le corps, par
le ventre, par les urines, et dissiper les excréments en les poussant à
travers la peau par des frictions et des onctions faites sur toute la surface
7 avec les substances que nous jugerons convenables. Contre le flux des
femmes, on donne à manger le pourpier et son suc en boisson, le fruit

τῷ φλοιῷ τοῦ πρέμνου ὑμενῶδες, καὶ τὸ ὑπὸ τῷ κελύφει τῆς βαλάνου·
μάλιστα δὲ ἕψοντες αὐτοῖς χρῶνται· τὰ δὲ τοῦ φηγοῦ καὶ πρίνου
δραστικώτερα. Ἵππουρις, καὶ μάλιστα τὸν ἐρυθρὸν, ὠφελεῖ πινο- 8
μένη διὰ ὕδατος ἢ οἴνου. Ὁλοσχοίνου ὁ καρπὸς φρυγεὶς πινόμενος 9
μετὰ οἴνου τὸν ἐρυθρὸν ἐπέχει. Σάμιος ἀσ7ὴρ, λημνία σφραγὶς, 10
σχοίνου τῆς ῥίζης ἀφέψημα, ἐλάφου κέρας κεκαυμένον σὺν ὀξυκράτῳ,
μήκωνος μελαίνης σπέρμα σὺν οἴνῳ, ῥόδων ἄνθος σὺν ὀξυκράτῳ·
σπύραθοι αἰγὸς σὺν λιβανωτῷ προσ7ιθέμεναι· δεῖ δὲ ἐνειλεῖν ἐν
ἐρίοις αὐτάς· λύκιον σὺν γάλακτι προσ7ιθέμενον, καὶ κηκίδος τὸ ἐν-
τὸς μετὰ λιβάνου καὶ ὕδατος ὁμοίως. Καὶ εἰς ἐγκαθίσματα δὲ καὶ 11
εἰς ἐπιθέματα κατὰ τοῦ ὑποχονδρίου προχωρεῖ τὰ σ7ύφοντα.

ριδ'. Πρὸς φλεγμονὰς ὑσ7έρας καὶ ἀλγήματα καὶ ἑλκώσεις καὶ ὀδαξησμούς· καὶ κνησμοὺς κόλπων, καὶ προπ7ώσεις· καὶ ὅσα περὶ τὰς συλλήψεις καὶ τὰ ἔμβρυα.

Πρὸς φλεγμονὰς ὑσ7έρας καὶ ἀλγήματα ἀφεψόμενα καὶ εἰς ἐγ- 1

et la fleur de la ronce, la partie membraneuse du chêne qui se trouve
sous l'écorce du tronc ou sous l'enveloppe du gland; on use surtout de
la décoction de ces substances; les mêmes parties dans le hêtre et dans
l'yeuse sont plus efficaces. La prêle prise avec de l'eau ou du vin guérit 8
surtout le flux rouge. Le fruit du jonc grillé, pris avec du vin, arrê- 9
tera aussi ce flux. La terre étoilée de Samos, la terre sigillaire de 10
Lemnos, la décoction de racine de jonc, la corne de cerf brûlée avec
l'oxycrat, la graine de pavot noir avec du vin, la fleur du rosier avec de
l'oxycrat, agissent contre le flux; les crottes de chèvre avec de l'encens,
en pessaire : ce mélange doit avoir de la laine pour support; le suc de
petit nerprun mêlé avec du lait; la partie interne des noix de galle avec
de l'encens et de l'eau conviennent contre les flux. En outre on em- 11
ploiera les astringents pour les bains de siége et les topiques que l'on
appliquera à la région des hypocondres.

114. CONTRE L'INFLAMMATION, LES DOULEURS, LES ULCÉRATIONS DE LA MATRICE, LES MORDICATIONS, LES PRURITS DE LA VULVE ET DU VAGIN, LA CHUTE DE LA MATRICE, ENFIN CONTRE TOUS LES ACCIDENTS QUI CONCERNENT LA CONCEPTION ET LE FOETUS.

Contre les inflammations et les douleurs de la matrice, on emploie 1

10-11. δὲ καὶ εἰς ἐπιθέμ. om. F.

καθίσματα, ὠφελοῦσιν ἀρτεμισίαι ἀμφότεραι, δάφνη, ἶρις, κασία,
κενταυρίου μεγάλου ῥίζα, λευκοΐων ἄνθη ξηρὰ, μάλισΊα ἐπὶ τῶν
χρονίων· μαλάχη, μελίλωτον, κρίνων ἄνθη, σύκα ξηρὰ μετὰ τήλεως
2 ἢ πΊισάνης, τῆλις, λινόσπερμον. Ὑποθυμιώμενα δὲ ὠφελεῖ· ἄγνου
3 σπέρμα, κασία, βδέλλιον, λάδανον, σμύρνα. ΠροσΊιθέμενα δὲ
ὠφελεῖ, ἀλθαίας ῥίζα ἑφθὴ ἐν μελικράτῳ, μιχθεῖσα σΊέατι χοι-
ρείῳ νεαρῷ, καὶ τερεϐινθίνη, τήλεως χυλὸς μιγεὶς σΊέατι χοιρείῳ,
ἢ βουτύρῳ προσφάτῳ, κρίνου ῥίζα ὀπΊὴ σὺν ῥοδίνῳ καὶ τὰ ἄνθη
σὺν κηρωτῇ καὶ μυελῷ καὶ σΊέατι, ὕσσωπον σὺν βουτύρῳ καὶ
4 μελικράτῳ. — Πρὸς τὰς ἑλκώσεις τῆς μήτρας ἁρμόζει ἀμόργη πε-
ριχριομένη ἑφθὴ μετὰ κηρωτῆς, ἢ λύκιον ὁμοίως, ἢ χυλὸς ἀκακίας.
5 — Ὀδαξησμοὺς δὲ μήτρας παύει καὶ κνησμοὺς κόλπων ἀνδράχνης
χυλὸς ἐγχυματιζόμενος, λινόσπερμον ἑφθὸν ἐν μελικράτῳ, τῆλις
6 ὁμοίως, τραγάκανθα σὺν ὕδατι. — Τὰς δὲ τῆς μήτρας προπΊώσεις
σΊέλλει ἀκακίας χύλισμα ἢ βάτου χυλὸς ἢ σχίνου ἢ ῥοὸς ἐρυθροῦ
χυλὸς διαχριόμενος, ἴου φύλλα καταπλασσόμενα, ἀρισΊολοχία λεία

pour bains de siége les deux espèces d'armoise, le laurier, l'iris, la
fausse cannelle, la racine de la grande centaurée, les fleurs sèches de la
giroflée, surtout dans les maladies de longue durée, la mauve, le méli-
lot, les fleurs du lis, les figues sèches avec du fenugrec ou de la ptisane,
2 le fenugrec, la graine de lin. Pour les fumigations, prenez la semence
de gattilier, la fausse cannelle, le bdellium, le ladanum, la myrrhe.
3 Comme pessaires, choisissez la racine de mauve cuite dans du mélicrat,
mêlée à la graisse de porc nouvelle, la térébenthine, le suc du fenugrec
mêlé à la graisse de porc ou à du beurre nouveau, la racine du lis cuite
avec de l'huile aux roses, puis ses fleurs avec du cérat, de la moelle et de
4 la graisse, l'hysope avec du miel et du vin miellé. — Contre les ulcé-
rations de la matrice on emploie utilement le marc d'huile cuit en onc-
tions avec du cérat, ou le lycium de la même manière, ou le suc de
5 l'acacia. — Le suc de pourpier en injection, la graine de lin cuite dans le
mélicrat, le fenugrec et la gomme adragante avec de l'eau, adoucissent
6 les mordications de la matrice et les prurits du vagin. — Pour remédier
aux chutes de la matrice, prescrivez le suc de l'acacia, celui de la ronce

7. νεαρῷ... χοιρείῳ om. F. — 14. Τὰς δέ om. F. — 15-16. ἢ σχίνου... χυλὸς om. F.

δὲ ἐν πεσσῷ μετά τινος τῶν στυφόντων, καὶ τὸ ἀπόζεμα αὐτῆς
εἰς ἐγκάθισμα καὶ ὑπατμισμὸν, ἢ κηκίδος ἀφέψημα, ἢ σιδίων, ἢ
σχίνου εἰς ἐγκάθισμα. — Πρὸς δὲ τὰς συλλήψεις συνεργεῖ σταφυ- 7
λίνου καρπὸς πινόμενος, καὶ ἡ ῥίζα ἐσθιομένη. Προστιθέμενα δὲ 8
συνεργεῖ ἄμμι μετὰ μυελοῦ πρὸ τῆς συνόδου, λαγωοῦ πυτία σὺν
βουτύρῳ, ἀλώπεκος ἀφόδευμα μετὰ ῥοδίνου πεσσῷ προστιθέμε-
νον· καὶ ὑποχριομένη δὲ συγγινέσθω. Ἀρτεμισίαν λείαν πρόσθες, 9
καὶ συλλήψεται. Χηνὸς στέαρ καὶ ῥητίνην τερεβινθίνην διαχριέσθω 10
ἐπὶ ἡμέρας δύο, τῇ δὲ τρίτῃ συγγινέσθω, καὶ συλλήψεται ἄῤῥεν.
Λινοζώστεως σπέρμα ἢ χυλὸς ἀντὶ πεσσοῦ, καὶ τῆς μὲν ἄῤῥενος 11
τὸ σπέρμα μετὰ τὴν σύλληψιν εὐθὺς προστιθέμενον ἀῤῥενοτοκεῖν
φασι παρασκευάζειν· τῆς δὲ θηλείας λινοζώστεως θηλυτοκεῖν.
Φυλάσσειν δὲ ἱστορεῖται τὸ συλληφθὲν καὶ πηγνύμενον προστιθεὶς 12
ὁ ἐν τῇ σαμίᾳ γῇ εὑρισκόμενος λίθος. Ἀετίτης λίθος περιαπτόμε- 13

ou du lentisque, ou du sumac rouge employé en onctions, les feuilles
de la violette appliquées en cataplasmes, l'aristoloche broyée avec quelque
astringent et mise en pessaire; une décoction de la même plante pour
bains de siége ou employée en fumigation; une décoction de noix de
galle ou d'écorce de grenade ou de lentisque pour bains de siége. — La 7
semence de la carotte, prise en boisson, et sa racine donnée comme
nourriture facilitent la conception. L'application en pessaire de l'ammi 8
avec de la moelle, la présure du lièvre avec du beurre, sont utiles avant
le coït; avant l'approche de l'homme, la femme usera, pour pessaire et
pour onctions, des excréments d'un renard mêlés à de l'huile aux roses.
Mettez en pessaire de l'armoise broyée, et la femme concevra. Oignez- 9–10
la de graisse d'oie et de résine de térébenthine pendant deux jours; le
troisième qu'elle ait commerce avec un homme, et elle concevra un en-
fant mâle. Lorsqu'on se sert de la semence ou du suc de la mercuriale 11
sous forme de pessaire, la semence de la mercuriale mâle, introduite
aussitôt après la copulation, fait, dit-on, engendrer un mâle, tandis
que la semence de la mercuriale femelle fait engendrer une femelle. On 12
a écrit aussi que l'introduction dans la vulve d'une certaine pierre que
l'on trouve dans la terre de Samos conserve le fœtus conçu et déjà en
voie de conformation. On affirme encore que la pierre d'aigle et la ra- 13

14 νος, μαλάχης ἀγρίας ῥίζα ὁμοίως. Τηρεῖ δὲ καὶ ἡ σιδηρίτης βοτάνη
τὰ ἔμβρυα περιαπτομένη.

ριε'. Πρὸς δυστοκίαν.

1 Λίθον ἴασπιν τῷ μηρῷ περιάπτειν δεῖ· ἢ κυκλαμίνου ῥίζαν ξη-
2 ρὰν ὁμοίως. Ἀδίαντον λεῖον μετὰ οἴνου καὶ ἐλαίου πινόμενον ὠφε-
3 λεῖ, καὶ πταρμικοῦ προσαγωγὴ τοῖς ῥώθωσι. Δίκταμνον διὰ οἴνου
ἢ ὕδατος πότιζε, ἢ βόλβους πικροὺς τρίψας διὰ γλυκέος, ἢ ὕειον
4 γάλα ἐν μελικράτῳ πινέτω. Γλήχωνος εἰς ὕδωρ δεσμίδιον βαλὼν,
ποίει περικαθίσαι τὴν γυναῖκα.

ρις'. Πρὸς ἀσυλληψίαν.

1 Πρὸς δὲ τὸ μὴ συλλαβεῖν ποιεῖ πτερίδος ῥίζα μετὰ γλυκέος πι-
νομένη, καὶ θηλυπτερίδος ὁμοίως, ἰτέας ἄνθη καὶ τὰ φύλλα, κράμ-
βης ἄνθη μετὰ οἴνου, μετὰ σύλληψιν· προστίθεται δὲ πρὸς τὸ μὴ
συλλαμβάνειν πρὸ τῆς συνόδου ἡδύοσμον λεῖον, καὶ τὸ αἰδοῖον δὲ
2 τοῦ ἀνδρὸς τῷ χυλῷ περιχρισθέν. Κράμβης ἄνθος λεῖον, ἐν πεσσῷ

14 cine de mauve sauvage attachée sur la femme ont la même vertu. La plante appelée *sidéritis* conserve aussi le fœtus, si on l'attache sur la femme.

115. POUR FACILITER L'ACCOUCHEMENT LABORIEUX.

1 Attachez à la cuisse de la femme de la pierre de jaspe, ou de la racine
2 sèche de cyclame. Sont également efficaces du capillaire broyé et bu
avec du vin et de l'huile, ainsi que l'introduction dans les narines d'un
3 sternutatoire. — Buvez du dictame de Crète avec du vin ou de l'eau,
ou des oignons de vaccet amers broyés dans du vin d'un goût sucré, ou
4 du lait de truie dans du mélicrat. Jetez une poignée de pouliot dans de
l'eau et faites-y asseoir la femme.

116. POUR EMPÊCHER LA CONCEPTION.

